UNIVERSITÀ DEGLI STUDI DI MACERATA

a.a. 2024/5

# LINGUA GRECA

PROF. VIRGILIO IRMICI

1) <u>Brano tratto da un discorso tenuto da Sir William Jones presso l'Asiatic Society di Calcutta il 2 febbraio 1786</u>

*La lingua sanscrita, quale che sia la sua antichità, è una lingua di struttura meravigliosa, più perfetta del greco, più copiosa del latino, e più squisitamente raffinata di ambedue, nonostante essa abbia con entrambe una affinità più forte, sia nelle radici dei verbi sia nelle forme della grammatica, di quanto probabilmente sarebbe potuto accadere per puro caso; così forte, in effetti, che nessun filologo potrebbe indagarle tutt'e tre senza credere che esse siano sorte da qualche fonte comune, la quale, forse, non esiste più. C'è un'altra ragione simile, sebbene non altrettanto cogente, per supporre che tanto il gotico quanto il celtico, sebbene mescolati con un idioma molto differente, abbiano avuto la stessa origine del sanscrito e l'antico persiano potrebbe essere aggiunto a questa famiglia, se questa fosse la sede per discutere qualche questione relativa alle vicende antiche della Persia.*

2) Esempio di comparazione linguistica tra lingue indeuropee

| aind. | gr. | lat. | airl. | got. | asl. |
|---|---|---|---|---|---|
| *bhrātar* | φράτηρ | *frāter* | *bráthir* | *broþar* | *bratrŭ* |
| *bhārati* | φέρει | *fert* | *berid* | *baíriþ* | *beretŭ* |

3) <u>Sistema fonologico dell'attico</u>

| | |
|---|---|
| vocali | a aː ɛː e eː i iː ɔː o oː y yː |
| dittonghi | ai oi au eu yi aːi ɛːi ɔːi aːu ɛːu ɔːu |
| consonanti | |
| nasali | m mm n nn |
| liquide | l ll r rr |
| occlusive | |
| labiali | p pp b $p^h$ $pp^h$ |
| dentali | t tt d $t^h$ $tt^h$ |
| velari | k kk g gg $k^h$ $kk^h$ |
| fricative | s ss h |

# SISTEMA FONOLOGICO INDEUROPEO

| *Vocali* | |
|---|---|
| ă | ā |
| ĕ | ē |
| ĭ | ī |
| ŏ | ō |
| ŭ | ū |

| *Sonanti* |
|---|
| j |
| w |
| l/ḷ |
| m/ṃ |
| n/ṇ |
| r/ṛ |

| *Laringali* |
|---|
| $H_1$ |
| $H_2$ |
| $H_3$ |

| *Fricative* |
|---|
| s |
| þ |

| | *Occlusive* | |
|---|---|---|
| | *Labiali* | p, b, $b^h$ |
| | *Dentali* | t, d, $d^h$ |
| *Dorsali* | *Palatali* | $\hat{k}$, $\hat{g}$, $\hat{g}^h$ |
| | *Velari* | k, g, $g^h$ |
| | *Labiovelari* | $k^w$, $g^w$, $g^{wh}$ |

Figura 11.
I dialetti greci nel I millennio.



*Elleno: Dori, Eoli, Achei e Ioni.*



Hdt. 1.142.3-143.1

γλῶσσαν δὲ οὐ τὴν αὐτὴν οὗτοι νενομίκασι, ἀλλὰ τρόπους τέσσερας παραγωγέων. Μίλητος μὲν αὐτέων πρώτη κεῖται πόλις πρὸς μεσαμβρίην, μετὰ δὲ Μυοῦς τε καὶ Πριήνη· αὗται μὲν ἐν τῇ Καρίῃ κατοίκηνται κατὰ ταὐτὰ διαλεγόμεναι σφίσι, αἵδε δὲ ἐν τῇ Λυδίῃ· Ἔφεσος, Κολοφών, Λέβεδος, Τέως, Κλαζομεναί, Φώκαια. αὗται δὲ αἱ πόλιες τῇσι πρότερον λεχθείσῃσι ὁμολογέουσι κατὰ γλῶσσαν οὐδέν, σφίσι δὲ ὁμοφωνέουσι. ἔτι δὲ τρεῖς ὑπόλοιποι Ἰάδες πόλιες, τῶν αἱ δύο μὲν νήσους οἰκέαται, Σάμον τε καὶ Χίον, ἡ δὲ μία ἐν τῇ ἠπείρῳ ἵδρυται, Ἐρυθραί. Χῖοι μέν νυν καὶ Ἐρυθραῖοι κατὰ τὠυτὸ διαλέγονται, Σάμιοι δὲ ἐπ’ ἑωυτῶν μοῦνοι. οὗτοι χαρακτῆρες γλώσσης τέσσερες γίνονται.

# PLATONIS OPERA

RECOGNOVIT
BREVIQVE ADNOTATIONE CRITICA INSTRVXIT

IOANNES BURNET

TOMVS III
TETRALOGIAS V–VII CONTINENS

OXONII
E TYPOGRAPHEO CLARENDONIANO

# SIGLA

B = cod. Bodleianus, MS. E. D. Clarke 39 = Bekkeri 𝔄
T = cod. Venetus Append. Class. 4, cod. 1 = Bekkeri 𝔱
W = cod. Vindobonensis 54. suppl. phil. Gr. 7 = Stallbaumii Vind. 1

F = cod. Vindobonensis 55. suppl. phil. Gr. 39
P = cod. Vaticanus Palatinus 173 = Bekkeri 𝔟
S = cod. Venetus Marcianus 189 = Bekkeri Σ

# ΘΕΑΓΗΣ

St. I p. 121

ΔΗΜΟΔΟΚΟΣ ΣΩΚΡΑΤΗΣ ΘΕΑΓΗΣ

ΔΗ. Ὦ Σώκρατες, ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι, a
εἰ σχολή· κἂν εἰ ἀσχολία δὲ μὴ πάνυ τις μεγάλη, ὅμως ἐμοῦ ἕνεκα ποίησαι σχολήν.

ΣΩ. Ἀλλὰ καὶ ἄλλως τυγχάνω σχολάζων, καὶ δὴ σοῦ γε ἕνεκα καὶ πάνυ. ἀλλ' εἴ τι βούλει λέγειν, ἔξεστιν.

ΔΗ. Βούλει οὖν δεῦρο εἰς τὴν τοῦ Διὸς τοῦ ἐλευθερίου στοὰν ἐκποδὼν ἀποχωρήσωμεν;

ΣΩ. Εἴ σοι δοκεῖ.

ΔΗ. Ἴωμεν δή. Ὦ Σώκρατες, πάντα τὰ φυτὰ κιν- b
δυνεύει τὸν αὐτὸν τρόπον ἔχειν, καὶ τὰ ἐκ τῆς γῆς φυόμενα καὶ τὰ ζῷα τά τε ἄλλα καὶ ἄνθρωπος. καὶ γὰρ ἐν τοῖς φυτοῖς ῥᾷστον ἡμῖν τοῦτο γίγνεται, ὅσοι τὴν γῆν γεωργοῦμεν, τὸ παρασκευάσασθαι πάντα τὰ πρὸ τοῦ φυτεύειν καὶ αὐτὸ τὸ φυτεῦσαι· ἐπειδὰν δὲ τὸ φυτευθὲν βιῷ, μετὰ τοῦτο θεραπεία τοῦ φύντος καὶ πολλὴ καὶ χαλεπὴ καὶ δύσκολος
γίγνεται. οὕτω δὲ ἔχειν ἔοικε καὶ τὸ περὶ τῶν ἀνθρώπων· c
ἀπὸ τῶν ἐμαυτοῦ ἐγὼ πραγμάτων τεκμαίρομαι καὶ ἐς τἆλλα. καὶ γὰρ ἐμοὶ ἡ τοῦ ὑέος τουτουί, εἴτε φυτείαν εἴτε παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν, πάντων ῥᾴστη γέγονεν, ἡ δὲ τροφὴ δύσκολός τε καὶ ἀεὶ ἐν φόβῳ περὶ αὐτοῦ δεδιότι.

a 1 ἰδιολογήσασθαι] διαλογίσασθαι ci. Cobet a 2 κἂν εἰ] κἂν ᾖ vulg. a 3 ἕνεκα T : ἕνεκεν B W b 1 post δή dist. Cobet : post σώκρατες B T b 3 ἄνθρωπος Schanz: ἄνθρωπος B T c 2 τἆλλα B W : τὰ ἄλλα T c 4 ῥᾴστη γέγονεν, ἡ δὲ τροφὴ T : ῥᾴστη· γέγονε δὲ τροφὴ B

# ΛΥΣΙΣ

St. II p. 203

## ΣΩΚΡΑΤΗΣ

a 'Επορευόμην μὲν ἐξ 'Ακαδημείας εὐθὺ Λυκείου τὴν ἔξω τείχους ὑπ' αὐτὸ τὸ τεῖχος· ἐπειδὴ δ' ἐγενόμην κατὰ τὴν πυλίδα ᾗ ἡ Πάνοπος κρήνη, ἐνταῦθα συνέτυχον Ἱπποθάλει τε τῷ Ἱερωνύμου καὶ Κτησίππῳ τῷ Παιανιεῖ καὶ ἄλλοις μετὰ τούτων νεανίσκοις ἀθρόοις συνεστῶσι. καί με προσιόντα ὁ Ἱπποθάλης ἰδών, Ὦ Σώκρατες, ἔφη, ποῖ δὴ πορεύῃ καὶ πόθεν;

b 'Εξ 'Ακαδημείας, ἦν δ' ἐγώ, πορεύομαι εὐθὺ Λυκείου.

Δεῦρο δή, ἦ δ' ὅς, εὐθὺ ἡμῶν. οὐ παραβάλλεις; ἄξιον μέντοι.

Ποῖ, ἔφην ἐγώ, λέγεις, καὶ παρὰ τίνας τοὺς ὑμᾶς;

Δεῦρο, ἔφη, δείξας μοι ἐν τῷ καταντικρὺ τοῦ τείχους περίβολόν τέ τινα καὶ θύραν ἀνεῳγμένην. διατρίβομεν δέ, ἦ δ' ὅς, αὐτόθι ἡμεῖς τε αὐτοὶ καὶ ἄλλοι πάνυ πολλοὶ καὶ καλοί.

204 Ἔστιν δὲ δὴ τί τοῦτο, καὶ τίς ἡ διατριβή;

Παλαίστρα, ἔφη, νεωστὶ ᾠκοδομημένη· ἡ δὲ διατριβὴ τὰ πολλὰ ἐν λόγοις, ὧν ἡδέως ἄν σοι μεταδιδοῖμεν.

Καλῶς γε, ἦν δ' ἐγώ, ποιοῦντες· διδάσκει δὲ τίς αὐτόθι;

Σὸς ἑταῖρός γε, ἦ δ' ὅς, καὶ ἐπαινέτης, Μίκκος.

203 a 1 ἀκαδημίας B (sed ι ex emend. B) T (et mox b 1) a 3 ἱπποθαλεῖ B (et mox a 6 ἱπποθαλῆς) b 3 εὐθὺ* B : εὐθὺς TW παραβάλλεις] παραβαλεῖς Hirschig b 5 ἔφην] ν postea add. B b 8 αὐτοὶ TW : αὐτοὶ ἢ B 204 a 2 ἔφη t : φῆν B : ἔφην T : φησι b a 3 ἂν T : δή B a 4 γε W : δὲ BT a 5 γε scr. recc. : τε BTW

Μὰ Δία, ἦν δ' ἐγώ, οὐ φαῦλός γε ἀνήρ, ἀλλ' ἱκανὸς σοφιστής.

Βούλει οὖν ἕπεσθαι, ἔφη, ἵνα καὶ ἴδῃς τοὺς ὄντας αὐτόθι [αὐτοῦ];

b Πρῶτον ἡδέως ἀκούσαιμ' ἂν ἐπὶ τῷ καὶ εἴσειμι καὶ τίς ὁ καλός.

Ἄλλος, ἔφη, ἄλλῳ ἡμῶν δοκεῖ, ὦ Σώκρατες.

Σοὶ δὲ δὴ τίς, ὦ Ἱππόθαλες; τοῦτό μοι εἰπέ.

Καὶ ὃς ἐρωτηθεὶς ἠρυθρίασεν. καὶ ἐγὼ εἶπον· Ὦ παῖ Ἱερωνύμου Ἱππόθαλες, τοῦτο μὲν μηκέτι εἴπῃς, εἴτε ἐρᾷς του εἴτε μή· οἶδα γὰρ ὅτι οὐ μόνον ἐρᾷς, ἀλλὰ καὶ πόρρω ἤδη εἶ πορευόμενος τοῦ ἔρωτος. εἰμὶ δ' ἐγὼ τὰ μὲν ἄλλα φαῦλος
c καὶ ἄχρηστος, τοῦτο δέ μοί πως ἐκ θεοῦ δέδοται, ταχὺ οἵῳ τ' εἶναι γνῶναι ἐρῶντά τε καὶ ἐρώμενον.

Καὶ ὃς ἀκούσας πολὺ ἔτι μᾶλλον ἠρυθρίασεν. ὁ οὖν Κτήσιππος, Ἀστεῖόν γε, ἦ δ' ὅς, ὅτι ἐρυθριᾷς, ὦ Ἱππόθαλες, καὶ ὀκνεῖς εἰπεῖν Σωκράτει τοὔνομα· ἐὰν δ' οὗτος καὶ σμικρὸν χρόνον συνδιατρίψῃ σοι, παραταθήσεται ὑπὸ σοῦ ἀκούων θαμὰ λέγοντος. ἡμῶν γοῦν, ὦ Σώκρατες, ἐκκεκώφωκε τὰ
d ὦτα καὶ ἐμπέπληκε Λύσιδος· ἂν μὲν δὴ καὶ ὑποπίῃ, εὐμαρία ἡμῖν ἐστιν καὶ ἐξ ὕπνου ἐγρομένοις Λύσιδος οἴεσθαι τοὔνομα ἀκούειν. καὶ ἃ μὲν καταλογάδην διηγεῖται, δεινὰ ὄντα, οὐ πάνυ τι δεινά ἐστιν, ἀλλ' ἐπειδὰν τὰ ποιήματα ἡμῶν ἐπιχειρήσῃ καταντλεῖν καὶ συγγράμματα. καὶ ὅ ἐστιν τούτων δεινότερον, ὅτι καὶ ᾄδει εἰς τὰ παιδικὰ φωνῇ θαυμασίᾳ, ἣν ἡμᾶς δεῖ ἀκούοντας ἀνέχεσθαι. νῦν δὲ ἐρωτώμενος ὑπὸ σοῦ ἐρυθριᾷ.

e Ἔστιν δέ, ἦν δ' ἐγώ, ὁ Λύσις νέος τις, ὡς ἔοικε· τεκμαίρομαι δέ, ὅτι ἀκούσας τοὔνομα οὐκ ἔγνων.

a 6 ἀνὴρ Schanz: ἀνήρ B T W a 8 ἴδῃς Ficinus: εἰδῇς B T αὐτόθι om. Schanz a 9 αὐτοῦ seclusi (alteri tribuunt B T) b 1 εἴσειμι T: εἴσιμι B b 4 μοι T: ποι B b 5 ἠρυθρίασεν] ἠ ex emend. B b 6 Ἱππόθαλες secl. Cobet b 8 πορευόμενος secl. Schanz c 7 ἐκκεκώφωκε B T: ἐκκεκώφηκε T² d 5 καταντλεῖν] λ ex emend. B



Οὐ γὰρ πάνυ, ἔφη, τι αὐτοῦ τοὔνομα λέγουσιν, ἀλλ' ἔτι πατρόθεν ἐπονομάζεται διὰ τὸ σφόδρα τὸν πατέρα γιγνώσκεσθαι αὐτοῦ. ἐπεὶ εὖ οἶδ' ὅτι πολλοῦ δεῖς τὸ εἶδος ἀγνοεῖν τοῦ παιδός· ἱκανὸς γὰρ καὶ ἀπὸ μόνου τούτου γιγνώσκεσθαι.

Λεγέσθω, ἦν δ' ἐγώ, οὗτινος ἔστιν.

Δημοκράτους, ἔφη, τοῦ Αἰξωνέως ὁ πρεσβύτατος ὑός.

Εἶεν, ἦν δ' ἐγώ, ὦ Ἱππόθαλες, ὡς γενναῖον καὶ νεανικὸν τοῦτον τὸν ἔρωτα πανταχῇ ἀνηῦρες· καί μοι ἴθι ἐπίδειξαι ἃ
καὶ τοῖσδε ἐπιδείκνυσαι, ἵνα εἰδῶ εἰ ἐπίστασαι ἃ χρὴ ἐραστὴν 205
περὶ παιδικῶν πρὸς αὐτὸν ἢ πρὸς ἄλλους λέγειν.

Τούτων δέ τι, ἔφη, σταθμᾷ, ὦ Σώκρατες, ὧν ὅδε λέγει;

Πότερον, ἦν δ' ἐγώ, καὶ τὸ ἐρᾶν ἔξαρνος εἶ οὗ λέγει ὅδε;

Οὐκ ἔγωγε, ἔφη, ἀλλὰ μὴ ποιεῖν εἰς τὰ παιδικὰ μηδὲ συγγράφειν.

Οὐχ ὑγιαίνει, ἔφη ὁ Κτήσιππος, ἀλλὰ ληρεῖ τε καὶ μαίνεται.

Καὶ ἐγὼ εἶπον· Ὦ Ἱππόθαλες, οὔ τι τῶν μέτρων δέομαι ἀκοῦσαι· οὐδὲ μέλος εἴ τι πεποίηκας εἰς τὸν νεανίσκον, ἀλλὰ b
τῆς διανοίας, ἵνα εἰδῶ τίνα τρόπον προσφέρῃ πρὸς τὰ παιδικά.

Ὅδε δήπου σοι, ἔφη, ἐρεῖ· ἀκριβῶς γὰρ ἐπίσταται καὶ μέμνηται, εἴπερ, ὡς λέγει, ὑπ' ἐμοῦ ἀεὶ ἀκούων διατεθρύληται.

Νὴ τοὺς θεούς, ἔφη ὁ Κτήσιππος, πάνυ γε. καὶ γάρ ἐστι καταγέλαστα, ὦ Σώκρατες. τὸ γὰρ ἐραστὴν ὄντα καὶ διαφερόντως τῶν ἄλλων τὸν νοῦν προσέχοντα τῷ παιδὶ ἴδιον μὲν μηδὲν ἔχειν λέγειν ὃ οὐχὶ κἂν παῖς εἴποι, πῶς οὐχὶ c
καταγέλαστον; ἃ δὲ ἡ πόλις ὅλη ᾄδει περὶ Δημοκράτους καὶ Λύσιδος τοῦ πάππου τοῦ παιδὸς καὶ πάντων πέρι τῶν προγόνων, πλούτους τε καὶ ἱπποτροφίας καὶ νίκας Πυθοῖ καὶ

e 3 ἔτι T: εἰ B e 4 σφόδρα τὸν T W: σφοδρότατον B e 5 δεῖς B (sed ς erasum) W: δεῖ σε T e 7 οὗτινός T: οὖν. τίνος B: οὖν εἴ τινος W (sed οὗ supra εἴ W) e 8 αἰξωνέως T W: ἐξωνέως B e 10 ἀνεῦρες T: ἂν εὗρες B a 3 ὅδε T W: om. B

Ἰσθμοῖ καὶ Νεμέᾳ τεθρίπποις τε καὶ κέλησι, ταῦτα ποιεῖ τε καὶ λέγει, πρὸς δὲ τούτοις ἔτι τούτων κρονικώτερα. τὸν γὰρ τοῦ Ἡρακλέους ξενισμὸν πρῴην ἡμῖν ἐν ποιήματί τινι διῄει, ὡς διὰ τὴν τοῦ Ἡρακλέους συγγένειαν ὁ πρόγονος αὐτῶν
d ὑποδέξαιτο τὸν Ἡρακλέα, γεγονὼς αὐτὸς ἐκ Διός τε καὶ τῆς τοῦ δήμου ἀρχηγέτου θυγατρός, ἅπερ αἱ γραῖαι ᾄδουσι, καὶ ἄλλα πολλὰ τοιαῦτα, ὦ Σώκρατες· ταῦτ᾽ ἐστὶν ἃ οὗτος λέγων τε καὶ ᾄδων ἀναγκάζει καὶ ἡμᾶς ἀκροᾶσθαι.

Καὶ ἐγὼ ἀκούσας εἶπον· Ὦ καταγέλαστε Ἱππόθαλες, πρὶν νενικηκέναι ποιεῖς τε καὶ ᾄδεις εἰς σαυτὸν ἐγκώμιον;

Ἀλλ᾽ οὐκ εἰς ἐμαυτόν, ἔφη, ὦ Σώκρατες, οὔτε ποιῶ οὔτε ᾄδω.

Οὐκ οἴει γε, ἦν δ᾽ ἐγώ.

Τὸ δὲ πῶς ἔχει; ἔφη.

e Πάντων μάλιστα, εἶπον, εἰς σὲ τείνουσιν αὗται αἱ ᾠδαί. ἐὰν μὲν γὰρ ἕλῃς τὰ παιδικὰ τοιαῦτα ὄντα, κόσμος σοι ἔσται τὰ λεχθέντα καὶ ᾀσθέντα καὶ τῷ ὄντι ἐγκώμια ὥσπερ νενικηκότι, ὅτι τοιούτων παιδικῶν ἔτυχες· ἐὰν δέ σε διαφύγῃ, ὅσῳ ἂν μείζω σοι εἰρημένα ᾖ ἐγκώμια περὶ τῶν παιδικῶν, τοσούτῳ μειζόνων δόξεις καλῶν τε καὶ ἀγαθῶν ἐστερημένος
206 καταγέλαστος εἶναι. ὅστις οὖν τὰ ἐρωτικά, ὦ φίλε, σοφός, οὐκ ἐπαινεῖ τὸν ἐρώμενον πρὶν ἂν ἕλῃ, δεδιὼς τὸ μέλλον ὅπῃ ἀποβήσεται. καὶ ἅμα οἱ καλοί, ἐπειδάν τις αὐτοὺς ἐπαινῇ καὶ αὔξῃ, φρονήματος ἐμπίμπλανται καὶ μεγαλαυχίας· ἢ οὐκ οἴει;

Ἔγωγε, ἔφη.

Οὐκοῦν ὅσῳ ἂν μεγαλαυχότεροι ὦσιν, δυσαλωτότεροι γίγνονται;

Εἰκός γε.

Ποῖός τις οὖν ἂν σοι δοκεῖ θηρευτὴς εἶναι, εἰ ἀνασοβοῖ θηρεύων καὶ δυσαλωτοτέραν τὴν ἄγραν ποιοῖ;

c 5 νεμέᾳ T : νέμεα B  c 6 κρονικώτερα TW : χρονικώτερα B  d 6 σαυτὸν B T²: αὑτὸν TW  d 10 τὸ δὲ T : τόδε B  a 9 δοκεῖ scr. recc. : δοκοῖ BTW  a 10 ἄγρ*αν B (ut videtur ἀγρίαν fuit)



Δῆλον ὅτι φαῦλος. b

Καὶ μὲν δὴ λόγοις τε καὶ ᾠδαῖς μὴ κηλεῖν ἀλλ᾽ ἐξαγριαίνειν πολλὴ ἀμουσία· ἢ γάρ;

Δοκεῖ μοι.

Σκόπει δή, ὦ Ἱππόθαλες, ὅπως μὴ πᾶσι τούτοις ἔνοχον σαυτὸν ποιήσεις διὰ τὴν ποίησιν· καίτοι οἶμαι ἐγὼ ἄνδρα ποιήσει βλάπτοντα ἑαυτὸν οὐκ ἄν σε ἐθέλειν ὁμολογῆσαι ὡς ἀγαθός ποτ᾽ ἐστὶν ποιητής, βλαβερὸς ὢν ἑαυτῷ.

Οὐ μὰ τὸν Δία, ἔφη· πολλὴ γὰρ ἂν ἀλογία εἴη. ἀλλὰ διὰ ταῦτα δή σοι, ὦ Σώκρατες, ἀνακοινοῦμαι, καὶ εἴ τι ἄλλο c ἔχεις, συμβούλευε τίνα ἄν τις λόγον διαλεγόμενος ἢ τί πράττων προσφιλὴς παιδικοῖς γένοιτο.

Οὐ ῥᾴδιον, ἦν δ᾽ ἐγώ, εἰπεῖν· ἀλλ᾽ εἴ μοι ἐθελήσαις αὐτὸν ποιῆσαι εἰς λόγους ἐλθεῖν, ἴσως ἂν δυναίμην σοι ἐπιδεῖξαι ἃ χρὴ αὐτῷ διαλέγεσθαι ἀντὶ τούτων ὧν οὗτοι λέγειν τε καὶ ᾄδειν φασί σε.

Ἀλλ᾽ οὐδέν, ἔφη, χαλεπόν. ἂν γὰρ εἰσέλθῃς μετὰ Κτησίππου τοῦδε καὶ καθεζόμενος διαλέγῃ, οἶμαι μὲν καὶ αὐτός σοι πρόσεισι—φιλήκοος γάρ, ὦ Σώκρατες, διαφερόντως ἐστίν, καὶ ἅμα, ὡς Ἑρμαῖα ἄγουσιν, ἀναμεμειγμένοι ἐν ταὐτῷ d εἰσιν οἵ τε νεανίσκοι καὶ οἱ παῖδες—πρόσεισιν οὖν σοι. εἰ δὲ μή, Κτησίππῳ συνήθης ἐστὶν διὰ τὸν τούτου ἀνεψιὸν Μενέξενον· Μενεξένῳ μὲν γὰρ δὴ πάντων μάλιστα ἑταῖρος ὢν τυγχάνει. καλεσάτω οὖν οὗτος αὐτόν, ἐὰν ἄρα μὴ προσίῃ αὐτός.

Ταῦτα, ἦν δ᾽ ἐγώ, χρὴ ποιεῖν. Καὶ ἅμα λαβὼν τὸν Κτήσιππον προσῇα εἰς τὴν παλαίστραν· οἱ δ᾽ ἄλλοι ὕστεροι e ἡμῶν ᾖσαν.

Εἰσελθόντες δὲ κατελάβομεν αὐτόθι τεθυκότας τε τοὺς παῖδας καὶ τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι ἤδη πεποιημένα,

b 4 δοκεῖ TW : δοκεῖ γάρ B  b 6 ποιήσεις scr. Ven. 184 : ποιήσῃς BTW  c 7 σε TW : γε B  d 4 ἑταῖρος TW : ἕτερος B (sed αι supra ε B²)  d 5 προσίῃ T : προσείη B sed ι supra ει B²)  e 1 προσῇα] προσήει T : προσείη B  e 4 ἱερεῖα ex emend. B (ἱέρια fuit)

ἀστραγαλίζοντάς τε δὴ καὶ κεκοσμημένους ἅπαντας. οἱ μὲν οὖν πολλοὶ ἐν τῇ αὐλῇ ἔπαιζον ἔξω, οἱ δέ τινες τοῦ ἀποδυτηρίου ἐν γωνίᾳ ἠρτίαζον ἀστραγάλοις παμπόλλοις, ἐκ φορμίσκων τινῶν προαιρούμενοι· τούτους δὲ περιέστασαν ἄλλοι θεωροῦντες. ὧν δὴ καὶ ὁ Λύσις ἦν, καὶ εἱστήκει ἐν
207 τοῖς παισί τε καὶ νεανίσκοις ἐστεφανωμένος καὶ τὴν ὄψιν διαφέρων, οὐ τὸ καλὸς εἶναι μόνον ἄξιος ἀκοῦσαι, ἀλλ' ὅτι καλός τε κἀγαθός. καὶ ἡμεῖς εἰς τὸ καταντικρὺ ἀποχωρήσαντες ἐκαθεζόμεθα—ἦν γὰρ αὐτόθι ἡσυχία—καί τι ἀλλήλοις διελεγόμεθα. περιστρεφόμενος οὖν ὁ Λύσις θαμὰ ἐπεσκοπεῖτο ἡμᾶς, καὶ δῆλος ἦν ἐπιθυμῶν προσελθεῖν. τέως μὲν οὖν ἠπόρει τε καὶ ὤκνει μόνος προσιέναι, ἔπειτα ὁ Μενέξενος
b ἐκ τῆς αὐλῆς μεταξὺ παίζων εἰσέρχεται, καὶ ὡς εἶδεν ἐμέ τε καὶ τὸν Κτήσιππον, ᾔει παρακαθιζησόμενος· ἰδὼν οὖν αὐτὸν ὁ Λύσις εἵπετο καὶ συμπαρεκαθέζετο μετὰ τοῦ Μενεξένου. προσῆλθον δὴ καὶ οἱ ἄλλοι, καὶ δὴ καὶ ὁ Ἱπποθάλης, ἐπειδὴ πλείους ἑώρα ἐφισταμένους, τούτους ἐπηλυγισάμενος προσέστη ᾗ μὴ ᾤετο κατόψεσθαι τὸν Λύσιν, δεδιὼς μὴ αὐτῷ ἀπεχθάνοιτο· καὶ οὕτω προσεστὼς ἠκροᾶτο.

Καὶ ἐγὼ πρὸς τὸν Μενέξενον ἀποβλέψας, Ὦ παῖ Δημο-
c φῶντος, ἦν δ' ἐγώ, πότερος ὑμῶν πρεσβύτερος;

Ἀμφισβητοῦμεν, ἔφη.

Οὐκοῦν καὶ ὁπότερος γενναιότερος, ἐρίζοιτ' ἄν, ἦν δ' ἐγώ.

Πάνυ γε, ἔφη.

Καὶ μὴν ὁπότερός γε καλλίων, ὡσαύτως.

Ἐγελασάτην οὖν ἄμφω.

Οὐ μὴν ὁπότερός γε, ἔφην, πλουσιώτερος ὑμῶν, οὐκ ἐρήσομαι· φίλω γάρ ἐστον. ἦ γάρ;

e 7 ἀστραγάλους παμπόλλους al. Pollux e 8 προαιρούμενοι] κατερώμενοι Pollux a 2 καλὸς B (sed λ in λλ ut videtur rasura B T: κάλλος W b 1 εἶδεν T: ἴδεν B b 3 εἵπετο B et in marg. T: ἕσπετο T b 4 οἱ secl. ci. H. Richards b 5 ἐπηλυγισάμενος B T W: ἐπηλυγασάμενος t b 6 προσέστη Stephanus: προέστη B T W ᾗ T: ᾗ B δεδιὼς B t: δεδειὼς T c 8 ἐρήσομαι] ἐ ex emend. B



Πάνυ γ', ἐφάτην.

Οὐκοῦν κοινὰ τά γε φίλων λέγεται, ὥστε τούτῳ γε οὐδὲν διοίσετον, εἴπερ ἀληθῆ περὶ τῆς φιλίας λέγετον.

Συνεφάτην.

d Ἐπεχείρουν δὴ μετὰ τοῦτο ἐρωτᾶν ὁπότερος δικαιότερος καὶ σοφώτερος αὐτῶν εἴη. μεταξὺ οὖν τις προσελθὼν ἀνέστησε τὸν Μενέξενον, φάσκων καλεῖν τὸν παιδοτρίβην· ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν. ἐκεῖνος μὲν οὖν ᾤχετο· ἐγὼ δὲ τὸν Λύσιν ἠρόμην, Ἦ που, ἦν δ' ἐγώ, ὦ Λύσι, σφόδρα φιλεῖ σε ὁ πατὴρ καὶ ἡ μήτηρ;—Πάνυ γε, ἦ δ' ὅς. —Οὐκοῦν βούλοιντο ἄν σε ὡς εὐδαιμονέστατον εἶναι;—
e Πῶς γὰρ οὔ;—Δοκεῖ δέ σοι εὐδαίμων εἶναι ἄνθρωπος δουλεύων τε καὶ ᾧ μηδὲν ἐξείη ποιεῖν ὧν ἐπιθυμοῖ;—Μὰ Δί' οὐκ ἔμοιγε, ἔφη.—Οὐκοῦν εἴ σε φιλεῖ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ εὐδαίμονά σε ἐπιθυμοῦσι γενέσθαι, τοῦτο παντὶ τρόπῳ δῆλον ὅτι προθυμοῦνται ὅπως ἂν εὐδαιμονοίης.—Πῶς γὰρ οὐχί; ἔφη.—Ἐῶσιν ἄρα σε ἃ βούλει ποιεῖν, καὶ οὐδὲν ἐπιπλήττουσιν οὐδὲ διακωλύουσι ποιεῖν ὧν ἂν ἐπιθυμῇς;— Ναὶ μὰ Δία ἐμέ γε, ὦ Σώκρατες, καὶ μάλα γε πολλὰ κωλύουσιν.—Πῶς λέγεις; ἦν δ' ἐγώ. βουλόμενοί σε μακά-
208 ριον εἶναι διακωλύουσι τοῦτο ποιεῖν ὃ ἂν βούλῃ; ὧδε δέ μοι λέγε. ἢν ἐπιθυμήσῃς ἐπί τινος τῶν τοῦ πατρὸς ἁρμάτων ὀχεῖσθαι λαβὼν τὰς ἡνίας, ὅταν ἁμιλλᾶται, οὐκ ἂν ἐῷέν σε ἀλλὰ διακωλύοιεν;—Μὰ Δί' οὐ μέντοι ἄν, ἔφη, ἐῷεν.— Ἀλλὰ τίνα μήν;—Ἔστιν τις ἡνίοχος παρὰ τοῦ πατρὸς μισθὸν φέρων.—Πῶς λέγεις; μισθωτῷ μᾶλλον ἐπιτρέπουσιν ἢ σοὶ ποιεῖν ὅτι ἂν βούληται περὶ τοὺς ἵππους, καὶ προσέτι
b αὐτοῦ τούτου ἀργύριον τελοῦσιν;—Ἀλλὰ τί μήν; ἔφη.— Ἀλλὰ τοῦ ὀρικοῦ ζεύγους οἶμαι ἐπιτρέπουσίν σοι ἄρχειν, κἂν εἰ βούλοιο λαβὼν τὴν μάστιγα τύπτειν, ἐῷεν ἄν.—

e 1 ⟨ἂν⟩ ἄνθρωπος Madvig a 5 τίνα] τί Schanz (ἀλλὰ τί μήν; Lysidi tribuit H. Richards) a 6 μισθωτῷ T: μισθωτῇ B b 1 τούτου B: τοῦτο T

Πόθεν, ἦ δ' ὅς, ἐῷεν;—Τί δέ; ἦν δ' ἐγώ· οὐδενὶ ἔξεστιν
αὐτοὺς τύπτειν;—Καὶ μάλα, ἔφη, τῷ ὀρεοκόμῳ.—Δούλῳ
ὄντι ἢ ἐλευθέρῳ;—Δούλῳ, ἔφη.—Καὶ δοῦλον, ὡς ἔοικεν,
ἡγοῦνται περὶ πλείονος ἢ σὲ τὸν ὑόν, καὶ ἐπιτρέπουσι τὰ
ἑαυτῶν μᾶλλον ἢ σοί, καὶ ἐῶσιν ποιεῖν ὅτι βούλεται, σὲ δὲ
c διακωλύουσι; καί μοι ἔτι τόδε εἰπέ. σὲ αὐτὸν ἐῶσιν ἄρχειν
σεαυτοῦ, ἢ οὐδὲ τοῦτο ἐπιτρέπουσί σοι;—Πῶς γάρ, ἔφη,
ἐπιτρέπουσιν;—Ἀλλ' ἄρχει τίς σου;—Ὅδε, παιδαγωγός,
ἔφη.—Μῶν δοῦλος ὤν;—Ἀλλὰ τί μήν; ἡμέτερός γε, ἔφη.
—Ἦ δεινόν, ἦν δ' ἐγώ, ἐλεύθερον ὄντα ὑπὸ δούλου ἄρχεσθαι.
τί δὲ ποιῶν αὖ οὗτος ὁ παιδαγωγός σου ἄρχει;—Ἄγων δήπου,
ἔφη, εἰς διδασκάλου.—Μῶν μὴ καὶ οὗτοί σου ἄρχουσιν, οἱ
d διδάσκαλοι;—Πάντως δήπου.—Παμπόλλους ἄρα σοι δε-
σπότας καὶ ἄρχοντας ἑκὼν ὁ πατὴρ ἐφίστησιν. ἀλλ' ἆρα
ἐπειδὰν οἴκαδε ἔλθῃς παρὰ τὴν μητέρα, ἐκείνη σε ἐᾷ ποιεῖν
ὅτι ἂν βούλῃ, ἵν' αὐτῇ μακάριος ᾖς, ἢ περὶ τὰ ἔρια ἢ περὶ
τὸν ἱστόν, ὅταν ὑφαίνῃ; οὔ τι γάρ που διακωλύει σε ἢ τῆς
σπάθης ἢ τῆς κερκίδος ἢ ἄλλου του τῶν περὶ ταλασιουργίαν
ὀργάνων ἅπτεσθαι.—Καὶ ὃς γελάσας, Μὰ Δία, ἔφη, ὦ
e Σώκρατες, οὐ μόνον γε διακωλύει, ἀλλὰ καὶ τυπτοίμην ἂν εἰ
ἁπτοίμην.—Ἡράκλεις, ἦν δ' ἐγώ, μῶν μή τι ἠδίκηκας τὸν
πατέρα ἢ τὴν μητέρα;—Μὰ Δί' οὐκ ἔγωγε, ἔφη.

Ἀλλ' ἀντὶ τίνος μὴν οὕτω σε δεινῶς διακωλύουσιν εὐδαί-
μονα εἶναι καὶ ποιεῖν ὅτι ἂν βούλῃ, καὶ δι' ἡμέρας ὅλης
τρέφουσί σε ἀεί τῳ δουλεύοντα καὶ ἑνὶ λόγῳ ὀλίγου ὧν
ἐπιθυμεῖς οὐδὲν ποιοῦντα; ὥστε σοι, ὡς ἔοικεν, οὔτε τῶν
χρημάτων τοσούτων ὄντων οὐδὲν ὄφελος, ἀλλὰ πάντες
209 αὐτῶν μᾶλλον ἄρχουσιν ἢ σύ, οὔτε τοῦ σώματος οὕτω γεν-
ναίου ὄντος, ἀλλὰ καὶ τοῦτο ἄλλος ποιμαίνει καὶ θεραπεύει·
σὺ δὲ ἄρχεις οὐδενός, ὦ Λύσι, οὐδὲ ποιεῖς οὐδὲν ὧν ἐπιθυ-

b 4 ἐῷεν secl. Hirschig  b 8 σὲ δὲ T: σε B (sed suprascr. δὲ B²)  c 1 καί μοι ἔτι B W et in marg. T: καὶ ἔτι μοι T  c 3 ὅδε] ὁ δὲ B T  παιδαγωγός secl. ci. H. Richards  d 4 βούλῃ ἵν' αὐτῇ T: βούλῃι ναύτη B  ᾖς ἢ T: ησ|η B  e 1 ἂν T: om. B



μεῖς.—Οὐ γάρ πω, ἔφη, ἡλικίαν ἔχω, ὦ Σώκρατες.—Μὴ οὐ
τοῦτό σε, ὦ παῖ Δημοκράτους, κωλύῃ, ἐπεὶ τό γε τοσόνδε,
ὡς ἐγῷμαι, καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ σοι ἐπιτρέπουσιν καὶ
οὐκ ἀναμένουσιν ἕως ἂν ἡλικίαν ἔχῃς. ὅταν γὰρ βούλωνται
αὑτοῖς τινα ἀναγνωσθῆναι ἢ γραφῆναι, σέ, ὡς ἐγῷμαι,
πρῶτον τῶν ἐν τῇ οἰκίᾳ ἐπὶ τοῦτο τάττουσιν. ἢ γάρ;— b
Πάνυ γ', ἔφη.—Οὐκοῦν ἔξεστί σοι ἐνταῦθ' ὅτι ἂν βούλῃ
πρῶτον τῶν γραμμάτων γράφειν καὶ ὅτι ἂν δεύτερον· καὶ
ἀναγιγνώσκειν ὡσαύτως ἔξεστιν. καὶ ἐπειδάν, ὡς ἐγῷμαι,
τὴν λύραν λάβῃς, οὐ διακωλύουσί σε οὔτε ὁ πατὴρ οὔτε ἡ
μήτηρ ἐπιτεῖναί τε καὶ ἀνεῖναι ἣν ἂν βούλῃ τῶν χορδῶν,
καὶ ψῆλαι καὶ κρούειν τῷ πλήκτρῳ. ἢ διακωλύουσιν;—Οὐ
δῆτα.—Τί ποτ' ἂν οὖν εἴη, ὦ Λύσι, τὸ αἴτιον ὅτι ἐνταῦθα
μὲν οὐ διακωλύουσιν, ἐν οἷς δὲ ἄρτι ἐλέγομεν κωλύουσι;— c
Ὅτι οἶμαι, ἔφη, ταῦτα μὲν ἐπίσταμαι, ἐκεῖνα δ' οὔ.—Εἶεν,
ἦν δ' ἐγώ, ὦ ἄριστε· οὐκ ἄρα τὴν ἡλικίαν σου περιμένει
ὁ πατὴρ ἐπιτρέπειν πάντα, ἀλλ' ᾗ ἂν ἡμέρᾳ ἡγήσηταί σε
βέλτιον αὑτοῦ φρονεῖν, ταύτῃ ἐπιτρέψει σοι καὶ αὑτὸν καὶ
τὰ αὑτοῦ.—Οἶμαι ἔγωγε, ἔφη.—Εἶεν, ἦν δ' ἐγώ· τί δέ; τῷ
γείτονι ἆρ' οὐχ ὁ αὐτὸς ὅρος ὅσπερ τῷ πατρὶ περὶ σοῦ;
πότερον οἴει αὐτὸν ἐπιτρέψειν σοι τὴν αὑτοῦ οἰκίαν οἰκονο- d
μεῖν, ὅταν σε ἡγήσηται βέλτιον περὶ οἰκονομίας ἑαυτοῦ
φρονεῖν, ἢ αὐτὸν ἐπιστατήσειν;—Ἐμοὶ ἐπιτρέψειν οἶμαι.—
Τί δ'; Ἀθηναίους οἴει σοι οὐκ ἐπιτρέψειν τὰ αὑτῶν, ὅταν
αἰσθάνωνται ὅτι ἱκανῶς φρονεῖς;—Ἔγωγε.—Πρὸς Διός, ἦν
δ' ἐγώ, τί ἄρα ὁ μέγας βασιλεύς; πότερον τῷ πρεσβυτάτῳ
ὑεῖ, οὗ ἡ τῆς Ἀσίας ἀρχὴ γίγνεται, μᾶλλον ἂν ἐπιτρέ-
ψειεν ἑψομένων κρεῶν [ἐμβάλλειν] ὅτι ἂν βούληται ἐμ-

a 4 πω corr. Coisl.: που B T W  a 7 ἔχῃς scr. recc.: ἔχοις B T W: σχῇς? H. Richards  a 8 τινα] τι ἢ Badham  b 7 ψῆλαι B T W sed in marg. τίλαι T: γρ. καὶ τίλλαι in marg. W  c 1 ἐν οἷς . . . κωλύουσι om. W sed add. in marg. W  c 6 τί δαί· τωι in ras. B²  d 1 οἰκονομεῖν T²: οἰκοδομεῖν B T W  d 2 οἰκονομίας T: οἰκοδομίας B W  d 7 ἐπιτρέψειεν ἑψωμένων W (sed ο supra ω W): ἐπιτρέψειν ἐνεψομένων B: ἐπιτρέψειεν ἐν ἑψομένων T  d 8 ἐμβάλλειν secl. Heindorf: ἐμβαλεῖν Bekker (secl. mox ἐμβαλεῖν)

e βαλεῖν εἰς τὸν ζωμόν, ἢ ἡμῖν, εἰ ἀφικόμενοι παρ' ἐκεῖνον
ἐνδειξαίμεθα αὐτῷ ὅτι ἡμεῖς κάλλιον φρονοῦμεν ἢ ὁ ὑὸς
αὐτοῦ περὶ ὄψου σκευασίας;—Ἡμῖν δῆλον ὅτι, ἔφη.—
Καὶ τὸν μέν γε οὐδ' ἂν σμικρὸν ἐάσειεν ἐμβαλεῖν· ἡμᾶς
δέ, κἂν εἰ βουλοίμεθα δραξάμενοι τῶν ἁλῶν, ἐῴη ἂν
ἐμβαλεῖν.—Πῶς γὰρ οὔ;—Τί δ' εἰ τοὺς ὀφθαλμοὺς ὁ ὑὸς
αὐτοῦ ἀσθενοῖ, ἆρα ἐῴη ἂν αὐτὸν ἅπτεσθαι τῶν ἑαυτοῦ
210 ὀφθαλμῶν, μὴ ἰατρὸν ἡγούμενος, ἢ κωλύοι ἄν;—Κωλύοι
ἄν.—Ἡμᾶς δέ γε εἰ ὑπολαμβάνοι ἰατρικοὺς εἶναι, κἂν
εἰ βουλοίμεθα διανοίγοντες τοὺς ὀφθαλμοὺς ἐμπάσαι τῆς
τέφρας, οἶμαι οὐκ ἂν κωλύσειεν, ἡγούμενος ὀρθῶς φρονεῖν.
—Ἀληθῆ λέγεις.—Ἆρ' οὖν καὶ τἆλλα πάντα ἡμῖν ἐπι-
τρέποι ἂν μᾶλλον ἢ ἑαυτῷ καὶ τῷ ὑεῖ, περὶ ὅσων ἂν
δόξωμεν αὐτῷ σοφώτεροι ἐκείνων εἶναι;—Ἀνάγκη, ἔφη, ὦ
Σώκρατες.

Οὕτως ἄρα ἔχει, ἦν δ' ἐγώ, ὦ φίλε Λύσι· εἰς μὲν ταῦτα,
b ἃ ἂν φρόνιμοι γενώμεθα, ἅπαντες ἡμῖν ἐπιτρέψουσιν, Ἕλ-
ληνές τε καὶ βάρβαροι καὶ ἄνδρες καὶ γυναῖκες, ποιήσομέν
τε ἐν τούτοις ὅτι ἂν βουλώμεθα, καὶ οὐδεὶς ἡμᾶς ἑκὼν εἶναι
ἐμποδιεῖ, ἀλλ' αὐτοί τε ἐλεύθεροι ἐσόμεθα ἐν αὐτοῖς καὶ
ἄλλων ἄρχοντες, ἡμέτερά τε ταῦτα ἔσται—ὀνησόμεθα γὰρ
ἀπ' αὐτῶν—εἰς ἃ δ' ἂν νοῦν μὴ κτησώμεθα, οὔτε τις ἡμῖν
ἐπιτρέψει περὶ αὐτὰ ποιεῖν τὰ ἡμῖν δοκοῦντα, ἀλλ' ἐμπο-
c διοῦσι πάντες καθ' ὅτι ἂν δύνωνται, οὐ μόνον οἱ ἀλλότριοι,
ἀλλὰ καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ εἴ τι τούτων οἰκειότερόν
ἐστιν, αὐτοί τε ἐν αὐτοῖς ἐσόμεθα ἄλλων ὑπήκοοι, καὶ ἡμῖν
ἔσται ἀλλότρια· οὐδὲν γὰρ ἀπ' αὐτῶν ὀνησόμεθα. συγχω-
ρεῖς οὕτως ἔχειν;—Συγχωρῶ.—Ἆρ' οὖν τῳ φίλοι ἐσόμεθα
καί τις ἡμᾶς φιλήσει ἐν τούτοις, ἐν οἷς ἂν ὦμεν ἀνωφελεῖς;

a 1 ἰατρὸν BTW Priscianus: ἰατρικὸν scr. Coisl. a 3 διανοίγοντες W: διαγαγόντες B: διανύγοντες T a 6 ἂν δόξωμεν] δὴ δόξαιμεν ci. H. Richards a 7 αὐτῷ . . . ἐκείνων] αὐτῶν . . . ἐκείνῳ Heindorf a 9 ἄρα ἔχει Priscianus: ἄρα ἔχοι BT: ἄρ' ἂν ἔχοι ci. Stallbaum b 6 ἃ in ras. duarum litterarum B c 6 φιλήσει ἐν scr. Laur. lxxxv. 17: φιλήσειεν ἐν BTW



—Οὐ δῆτα, ἔφη.—Νῦν ἄρα οὐδὲ σὲ ὁ πατὴρ οὐδὲ ἄλλος
ἄλλον οὐδένα φιλεῖ, καθ' ὅσον ἂν ᾖ ἄχρηστος.—Οὐκ ἔοικεν,
ἔφη.—Ἐὰν μὲν ἄρα σοφὸς γένῃ, ὦ παῖ, πάντες σοι φίλοι d
καὶ πάντες σοι οἰκεῖοι ἔσονται—χρήσιμος γὰρ καὶ ἀγαθὸς
ἔσῃ—εἰ δὲ μή, σοὶ οὔτε ἄλλος οὐδεὶς οὔτε ὁ πατὴρ φίλος
ἔσται οὔτε ἡ μήτηρ οὔτε οἱ οἰκεῖοι. οἷόν τε οὖν ἐπὶ τούτοις,
ὦ Λύσι, μέγα φρονεῖν, ἐν οἷς τις μήπω φρονεῖ;—Καὶ πῶς
ἄν; ἔφη.—Εἰ δ' ἄρα σὺ διδασκάλου δέῃ, οὔπω φρονεῖς.—
Ἀληθῆ.—Οὐδ' ἄρα μεγαλόφρων εἶ, εἴπερ ἄφρων ἔτι.—Μὰ
Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκεῖ.

Καὶ ἐγὼ ἀκούσας αὐτοῦ ἀπέβλεψα πρὸς τὸν Ἱπποθάλη, e
καὶ ὀλίγου ἐξήμαρτον· ἐπῆλθε γάρ μοι εἰπεῖν ὅτι Οὕτω
χρή, ὦ Ἱππόθαλες, τοῖς παιδικοῖς διαλέγεσθαι, ταπεινοῦντα
καὶ συστέλλοντα, ἀλλὰ μὴ ὥσπερ σὺ χαυνοῦντα καὶ διαθρύ-
πτοντα. κατιδὼν οὖν αὐτὸν ἀγωνιῶντα καὶ τεθορυβημένον
ὑπὸ τῶν λεγομένων, ἀνεμνήσθην ὅτι καὶ προσεστὼς λαν-
θάνειν τὸν Λύσιν ἐβούλετο· ἀνέλαβον οὖν ἐμαυτὸν καὶ
ἐπέσχον τοῦ λόγου. καὶ ἐν τούτῳ ὁ Μενέξενος πάλιν ἧκεν, 211
καὶ ἐκαθέζετο παρὰ τὸν Λύσιν, ὅθεν καὶ ἐξανέστη. ὁ οὖν
Λύσις μάλα παιδικῶς καὶ φιλικῶς, λάθρᾳ τοῦ Μενεξένου,
σμικρὸν πρός με λέγων ἔφη· Ὦ Σώκρατες, ἅπερ καὶ ἐμοὶ
λέγεις, εἰπὲ καὶ Μενεξένῳ.

Καὶ ἐγὼ εἶπον, Ταῦτα μὲν σὺ αὐτῷ ἐρεῖς, ὦ Λύσι·
πάντως γὰρ προσεῖχες τὸν νοῦν.

Πάνυ μὲν οὖν, ἔφη.

Πειρῶ τοίνυν, ἦν δ' ἐγώ, ἀπομνημονεῦσαι αὐτὰ ὅτι
μάλιστα, ἵνα τούτῳ σαφῶς πάντα εἴπῃς· ἐὰν δέ τι αὐτῶν b
ἐπιλάθῃ, αὖθίς με ἀνερέσθαι ὅταν ἐντύχῃς πρῶτον.

Ἀλλὰ ποιήσω, ἔφη, ταῦτα, ὦ Σώκρατες, πάνυ σφόδρα,
εὖ ἴσθι. ἀλλά τι ἄλλο αὐτῷ λέγε, ἵνα καὶ ἐγὼ ἀκούω,
ἕως ἂν οἴκαδε ὥρα ᾖ ἀπιέναι.

c 7 οὐδὲ . . . οὐδὲ . . .] οὔτε . . . οὔτε . . . ci. H. Richards d 5 φρονεῖ T: φρόνιμος BW (sed οῖ supra ιμος W) d 8 δοκεῖ] δοκῶ ci. H. Richards b 2 ἀνερέσθαι] ε in ras. B

Ἀλλὰ χρὴ ποιεῖν ταῦτα, ἦν δ' ἐγώ, ἐπειδή γε καὶ σὺ
κελεύεις. ἀλλὰ ὅρα ὅπως ἐπικουρήσεις μοι, ἐάν με ἐλέγχειν
ἐπιχειρῇ ὁ Μενέξενος· ἢ οὐκ οἶσθα ὅτι ἐριστικός ἐστιν;

Ναὶ μὰ Δία, ἔφη, σφόδρα γε· διὰ ταῦτά τοι καὶ βού-
c λομαί σε αὐτῷ διαλέγεσθαι.

Ἵνα, ἦν δ' ἐγώ, καταγέλαστος γένωμαι;

Οὐ μὰ Δία, ἔφη, ἀλλ' ἵνα αὐτὸν κολάσῃς.

Πόθεν; ἦν δ' ἐγώ. οὐ ῥᾴδιον· δεινὸς γὰρ ὁ ἄνθρωπος,
Κτησίππου μαθητής. πάρεστι δέ τοι αὐτός—οὐχ ὁρᾷς;—
Κτήσιππος.

Μηδενός σοι, ἔφη, μελέτω, ὦ Σώκρατες, ἀλλ' ἴθι
διαλέγου αὐτῷ.

Διαλεκτέον, ἦν δ' ἐγώ.

Ταῦτα οὖν ἡμῶν λεγόντων πρὸς ἡμᾶς αὐτούς, Τί ὑμεῖς,
ἔφη ὁ Κτήσιππος, αὐτὼ μόνω ἑστιᾶσθον, ἡμῖν δὲ οὐ
d μεταδίδοτον τῶν λόγων;

Ἀλλὰ μήν, ἦν δ' ἐγώ, μεταδοτέον. ὅδε γάρ τι ὧν λέγω
οὐ μανθάνει, ἀλλά φησιν οἴεσθαι Μενέξενον εἰδέναι, καὶ
κελεύει τοῦτον ἐρωτᾶν.

Τί οὖν, ἢ δ' ὅς, οὐκ ἐρωτᾷς;

Ἀλλ' ἐρήσομαι, ἦν δ' ἐγώ. καί μοι εἰπέ, ὦ Μενέξενε,
ὃ ἄν σε ἔρωμαι. τυγχάνω γὰρ ἐκ παιδὸς ἐπιθυμῶν κτή-
ματός του, ὥσπερ ἄλλος ἄλλου. ὁ μὲν γάρ τις ἵππους
e ἐπιθυμεῖ κτᾶσθαι, ὁ δὲ κύνας, ὁ δὲ χρυσίον, ὁ δὲ τιμάς·
ἐγὼ δὲ πρὸς μὲν ταῦτα πρᾴως ἔχω, πρὸς δὲ τὴν τῶν φίλων
κτῆσιν πάνυ ἐρωτικῶς, καὶ βουλοίμην ἄν μοι φίλον ἀγαθὸν
γενέσθαι μᾶλλον ἢ τὸν ἄριστον ἐν ἀνθρώποις ὄρτυγα ἢ
ἀλεκτρυόνα, καὶ ναὶ μὰ Δία ἔγωγε μᾶλλον ἢ ἵππον τε καὶ
κύνα—οἶμαι δέ, νὴ τὸν κύνα, μᾶλλον ἢ τὸ Δαρείου χρυσίον
κτήσασθαι δεξαίμην πολὺ πρότερον ἑταῖρον, μᾶλλον ⟨δὲ⟩

b 7 ὅρα secl. Cobet ἐπικουρήσεις T: ἐπικουρήσῃς B (ηισ refictum in ras. sed non videtur εισ fuisse) e 2 πρᾴως] παρέργως ci. H. Richards (coll. Dinarch. 3. 14) e 7 μᾶλλον ἢ αὐτὸν Δαρεῖον secl. Schanz δὲ add. Buttmann



ἢ αὐτὸν Δαρεῖον—οὕτως ἐγὼ φιλέταιρός τίς εἰμι. ὑμᾶς
οὖν ὁρῶν, σέ τε καὶ Λύσιν, ἐκπέπληγμαι καὶ εὐδαιμονίζω 212
ὅτι οὕτω νέοι ὄντες οἷοί τ' ἐστὸν τοῦτο τὸ κτῆμα ταχὺ καὶ
ῥᾳδίως κτᾶσθαι, καὶ σύ τε τοῦτον οὕτω φίλον ἐκτήσω ταχύ
τε καὶ σφόδρα, καὶ αὖ οὗτος σέ· ἐγὼ δὲ οὕτω πόρρω εἰμὶ
τοῦ κτήματος, ὥστε οὐδ' ὅντινα τρόπον γίγνεται φίλος
ἕτερος ἑτέρου οἶδα, ἀλλὰ ταῦτα δὴ αὐτά σε βούλομαι
ἐρέσθαι ἅτε ἔμπειρον.

Καί μοι εἰπέ· ἐπειδάν τίς τινα φιλῇ, πότερος ποτέρου
φίλος γίγνεται, ὁ φιλῶν τοῦ φιλουμένου ἢ ὁ φιλούμενος b
τοῦ φιλοῦντος· ἢ οὐδὲν διαφέρει;—Οὐδέν, ἔφη, ἔμοιγε
δοκεῖ διαφέρειν.—Πῶς λέγεις; ἦν δ' ἐγώ· ἀμφότεροι ἄρα
ἀλλήλων φίλοι γίγνονται, ἐὰν μόνος ὁ ἕτερος τὸν ἕτερον
φιλῇ;—Ἔμοιγε, ἔφη, δοκεῖ.—Τί δέ; οὐκ ἔστιν φιλοῦντα
μὴ ἀντιφιλεῖσθαι ὑπὸ τούτου ὃν ἂν φιλῇ;—Ἔστιν.—Τί δέ;
ἆρα ἔστιν καὶ μισεῖσθαι φιλοῦντα; οἷόν που ἐνίοτε δοκοῦσι
καὶ οἱ ἐρασταὶ πάσχειν πρὸς τὰ παιδικά· φιλοῦντες γὰρ
ὡς οἷόν τε μάλιστα οἱ μὲν οἴονται οὐκ ἀντιφιλεῖσθαι, οἱ c
δὲ καὶ μισεῖσθαι. ἢ οὐκ ἀληθὲς δοκεῖ σοι τοῦτο;—
Σφόδρα γε, ἔφη, ἀληθές.—Οὐκοῦν ἐν τῷ τοιούτῳ, ἦν δ'
ἐγώ, ὁ μὲν φιλεῖ, ὁ δὲ φιλεῖται;—Ναί.—Πότερος οὖν αὐ-
τῶν ποτέρου φίλος ἐστίν; ὁ φιλῶν τοῦ φιλουμένου, ἐάντε
καὶ ἀντιφιλῆται ἐάντε καὶ μισῆται, ἢ ὁ φιλούμενος τοῦ
φιλοῦντος; ἢ οὐδέτερος αὖ ἐν τῷ τοιούτῳ οὐδετέρου φίλος
ἐστίν, ἂν μὴ ἀμφότεροι ἀλλήλους φιλῶσιν;—Ἔοικε γοῦν
οὕτως ἔχειν.—Ἀλλοίως ἄρα νῦν ἡμῖν δοκεῖ ἢ πρότερον d
ἔδοξεν. τότε μὲν γάρ, εἰ ὁ ἕτερος φιλοῖ, φίλω εἶναι ἄμφω·
νῦν δέ, ἂν μὴ ἀμφότεροι φιλῶσιν, οὐδέτερος φίλος.—Κιν-
δυνεύει, ἔφη.—Οὐκ ἄρα ἐστὶν φίλον τῷ φιλοῦντι οὐδὲν μὴ
οὐκ ἀντιφιλοῦν.—Οὐκ ἔοικεν.—Οὐδ' ἄρα φίλιπποί εἰσιν

a 3 σύ τε Heindorf: σὺ δὲ BT b 4 μόνος] μόνος μόνον ci. C. Schmidt: μόνον ci. H. Richards c 1 οἱ μὲν Heindorf: οἰόμενοι BT c 4 πότερος Hirschig: ὁπότερος BT c 6 καὶ ἀντιφιλῆται] μὴ ἀντιφιλῆται ci. H. Müller

οὓς ἂν οἱ ἵπποι μὴ ἀντιφιλῶσιν, οὐδὲ φιλόρτυγες, οὐδ᾽ αὖ φιλόκυνές γε καὶ φίλοινοι καὶ φιλογυμνασταὶ καὶ φιλόσοφοι, ἂν μὴ ἡ σοφία αὐτοὺς ἀντιφιλῇ. ἢ φιλοῦσι μὲν ταῦτα
e ἕκαστοι, οὐ μέντοι φίλα ὄντα, ἀλλὰ ψεύδεθ᾽ ὁ ποιητής, ὃς ἔφη—

ὄλβιος, ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός;

—Οὐκ ἔμοιγε δοκεῖ, ἦ δ᾽ ὅς.—Ἀλλ᾽ ἀληθῆ δοκεῖ λέγειν σοι; —Ναί.—Τὸ φιλούμενον ἄρα τῷ φιλοῦντι φίλον ἐστίν, ὡς ἔοικεν, ὦ Μενέξενε, ἐάντε φιλῇ ἐάντε καὶ μισῇ· οἷον καὶ τὰ νεωστὶ γεγονότα παιδία, τὰ μὲν οὐδέπω φιλοῦντα, τὰ
213 δὲ καὶ μισοῦντα, ὅταν κολάζηται ὑπὸ τῆς μητρὸς ἢ ὑπὸ τοῦ πατρός, ὅμως καὶ μισοῦντα ἐν ἐκείνῳ τῷ χρόνῳ πάντων μάλιστά ἐστι τοῖς γονεῦσι φίλτατα.—Ἔμοιγε δοκεῖ, ἔφη, οὕτως ἔχειν.—Οὐκ ἄρα ὁ φιλῶν φίλος ἐκ τούτου τοῦ λόγου, ἀλλ᾽ ὁ φιλούμενος.—Ἔοικεν.—Καὶ ὁ μισούμενος ἐχθρὸς ἄρα, ἀλλ᾽ οὐχ ὁ μισῶν.—Φαίνεται.—Πολλοὶ ἄρα ὑπὸ τῶν ἐχθρῶν φιλοῦνται, ὑπὸ δὲ τῶν φίλων μισοῦνται, καὶ τοῖς
b μὲν ἐχθροῖς φίλοι εἰσίν, τοῖς δὲ φίλοις ἐχθροί, εἰ τὸ φιλούμενον φίλον ἐστὶν ἀλλὰ μὴ τὸ φιλοῦν. καίτοι πολλὴ ἀλογία, ὦ φίλε ἑταῖρε, μᾶλλον δὲ οἶμαι καὶ ἀδύνατον, τῷ τε φίλῳ ἐχθρὸν καὶ τῷ ἐχθρῷ φίλον εἶναι.—Ἀληθῆ, ἔφη, ἔοικας λέγειν, ὦ Σώκρατες.—Οὐκοῦν εἰ τοῦτ᾽ ἀδύνατον, τὸ φιλοῦν ἂν εἴη φίλον τοῦ φιλουμένου.—Φαίνεται.—Τὸ μισοῦν ἄρα πάλιν ἐχθρὸν τοῦ μισουμένου.—Ἀνάγκη.—Οὐκοῦν ταὐτὰ ἡμῖν συμβήσεται ἀναγκαῖον εἶναι ὁμολογεῖν,
c ἅπερ ἐπὶ τῶν πρότερον, πολλάκις φίλον εἶναι μὴ φίλου, πολλάκις δὲ καὶ ἐχθροῦ, ὅταν ἢ μὴ φιλοῦν τις φιλῇ ἢ καὶ μισοῦν φιλῇ· πολλάκις δ᾽ ἐχθρὸν εἶναι μὴ ἐχθροῦ ἢ καὶ φίλου, ὅταν ἢ ⟨μὴ⟩ μισοῦν τις μισῇ ἢ καὶ φιλοῦν μισῇ.— Κινδυνεύει, ἔφη.—Τί οὖν δὴ χρησώμεθα, ἦν δ᾽ ἐγώ, εἰ μήτε

e 7 ἐάν τε ⟨μὴ⟩ φιλῇ Schanz  a 6 μισῶν scr. recc.: φιλῶν BTW  c 4 ἢ μὴ μισοῦν τις Cornarius: ἢ μισοῦν τις BT: μὴ μισοῦν τις scr. recc.  μισῇ scr. recc.: φιλῇ BT: om. Cornarius



οἱ φιλοῦντες φίλοι ἔσονται μήτε οἱ φιλούμενοι μήτε οἱ φιλοῦντές τε καὶ φιλούμενοι; ἀλλὰ καὶ παρὰ ταῦτα ἄλλους τινὰς ἔτι φήσομεν εἶναι φίλους ἀλλήλοις γιγνομένους;— Οὐ μὰ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὐ πάνυ εὐπορῶ ἔγωγε.
d —Ἆρα μή, ἦν δ᾽ ἐγώ, ὦ Μενέξενε, τὸ παράπαν οὐκ ὀρθῶς ἐζητοῦμεν;—Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἔφη, ὁ Λύσις, καὶ ἅμα εἰπὼν ἠρυθρίασεν· ἐδόκει γάρ μοι ἄκοντ᾽ αὐτὸν ἐκφεύγειν τὸ λεχθὲν διὰ τὸ σφόδρα προσέχειν τὸν νοῦν τοῖς λεγομένοις, δῆλος δ᾽ ἦν καὶ ὅτε ἠκροᾶτο οὕτως ἔχων.

Ἐγὼ οὖν βουλόμενος τόν τε Μενέξενον ἀναπαῦσαι καὶ ἐκείνου ἡσθεὶς τῇ φιλοσοφίᾳ, οὕτω μεταβαλὼν πρὸς τὸν Λύσιν ἐποιούμην τοὺς λόγους, καὶ εἶπον· Ὦ Λύσι, ἀληθῆ
e μοι δοκεῖς λέγειν ὅτι εἰ ὀρθῶς ἡμεῖς ἐσκοποῦμεν, οὐκ ἄν ποτε οὕτως ἐπλανώμεθα. ἀλλὰ ταύτῃ μὲν μηκέτι ἴωμεν— καὶ γὰρ χαλεπή τίς μοι φαίνεται ὥσπερ ὁδὸς ἡ σκέψις—ᾗ δὲ ἐτράπημεν, δοκεῖ μοι χρῆναι ἰέναι, σκοποῦντα [τὰ] κατὰ
214 τοὺς ποιητάς· οὗτοι γὰρ ἡμῖν ὥσπερ πατέρες τῆς σοφίας εἰσὶν καὶ ἡγεμόνες. λέγουσι δὲ δήπου οὐ φαύλως ἀποφαινόμενοι περὶ τῶν φίλων, οἳ τυγχάνουσιν ὄντες· ἀλλὰ τὸν θεὸν αὐτόν φασιν ποιεῖν φίλους αὐτούς, ἄγοντα παρ᾽ ἀλλήλους. λέγουσι δέ πως ταῦτα, ὡς ἐγᾦμαι, ὡδί—

αἰεί τοι τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον

καὶ ποιεῖ γνώριμον· ἢ οὐκ ἐντετύχηκας τούτοις τοῖς ἔπεσιν;
b —Ἔγωγ᾽, ἔφη.—Οὐκοῦν καὶ τοῖς τῶν σοφωτάτων συγγράμμασιν ἐντετύχηκας ταῦτα αὐτὰ λέγουσιν, ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ ἀνάγκη ἀεὶ φίλον εἶναι; εἰσὶν δέ που οὗτοι οἱ περὶ φύσεώς τε καὶ τοῦ ὅλου διαλεγόμενοι καὶ γράφοντες.— Ἀληθῆ, ἔφη, λέγεις.—Ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγώ, εὖ λέγουσιν;—

c 7 ἀλλὰ] ἆρα ci. Cornarius (ante ἀλλὰ signum interrogandi posuit Goldbacher)  c 9 εὐπορῶ BT²: ἀπορῶ T  d 2 ἔφη Vat. 1029: om. BT  e 5 σκοποῦντα] σκοποῦντας ci. Schleiermacher  τὰ secl. Heindorf  a 5 ὡδί T: ὡιδί B (sed δί ex emend. in ras.): ὠδήν W  b 3 ταῦτα αὐτὰ] ταῦτα ταὐτὰ Heindorf  b 4 ἀνάγκη B: ἀνάγκῃ T

Ἴσως, ἔφη.—Ἴσως, ἦν δ' ἐγώ, τὸ ἥμισυ αὐτοῦ, ἴσως δὲ καὶ πᾶν, ἀλλ' ἡμεῖς οὐ συνίεμεν. δοκεῖ γὰρ ἡμῖν ὅ γε πονηρὸς
c τῷ πονηρῷ, ὅσῳ ἂν ἐγγυτέρω προσίῃ καὶ μᾶλλον ὁμιλῇ, τοσούτῳ ἐχθίων γίγνεσθαι. ἀδικεῖ γάρ· ἀδικοῦντας δὲ καὶ ἀδικουμένους ἀδύνατόν που φίλους εἶναι. οὐχ οὕτως;—Ναί, ἦ δ' ὅς.—Ταύτῃ μὲν ἂν τοίνυν τοῦ λεγομένου τὸ ἥμισυ οὐκ ἀληθὲς εἴη, εἴπερ οἱ πονηροὶ ἀλλήλοις ὅμοιοι.—Ἀληθῆ λέγεις.—Ἀλλά μοι δοκοῦσιν λέγειν τοὺς ἀγαθοὺς ὁμοίους εἶναι ἀλλήλοις καὶ φίλους, τοὺς δὲ κακούς, ὅπερ καὶ λέγεται περὶ αὐτῶν, μηδέποτε ὁμοίους μηδ' αὐτοὺς αὑτοῖς εἶναι, ἀλλ'
d ἐμπλήκτους τε καὶ ἀσταθμήτους· ὃ δὲ αὐτὸ αὑτῷ ἀνόμοιον εἴη καὶ διάφορον, σχολῇ γέ τῳ ἄλλῳ ὅμοιον ἢ φίλον γένοιτ' ἄν. ἢ οὐ καὶ σοὶ δοκεῖ οὕτως;—Ἔμοιγ', ἔφη.—Τοῦτο τοίνυν αἰνίττονται, ὡς ἐμοὶ δοκοῦσιν, ὦ ἑταῖρε, οἱ τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον λέγοντες, ὡς ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνος μόνῳ φίλος, ὁ δὲ κακὸς οὔτε ἀγαθῷ οὔτε κακῷ οὐδέποτε εἰς ἀληθῆ φιλίαν ἔρχεται. συνδοκεῖ σοι;—Κατένευσεν.—Ἔχομεν ἄρα ἤδη τίνες εἰσὶν οἱ φίλοι· ὁ γὰρ λόγος ἡμῖν
e σημαίνει ὅτι οἳ ἂν ὦσιν ἀγαθοί.—Πάνυ γε, ἔφη, δοκεῖ.

Καὶ ἐμοί, ἦν δ' ἐγώ. καίτοι δυσχεραίνω τί γε ἐν αὐτῷ· φέρε οὖν, ὦ πρὸς Διός, ἴδωμεν τί καὶ ὑποπτεύω. ὁ ὅμοιος τῷ ὁμοίῳ καθ' ὅσον ὅμοιος φίλος, καὶ ἔστιν χρήσιμος ὁ τοιοῦτος τῷ τοιούτῳ; μᾶλλον δὲ ὧδε· ὁτιοῦν ὅμοιον ὁτῳοῦν ὁμοίῳ τίνα ὠφελίαν ἔχειν ἢ τίνα βλάβην ἂν ποιῆσαι δύναιτο, ὃ μὴ καὶ αὐτὸ αὑτῷ; ἢ τί ἂν παθεῖν, ὃ μὴ καὶ ὑφ'
215 αὑτοῦ πάθοι; τὰ δὴ τοιαῦτα πῶς ἂν ὑπ' ἀλλήλων ἀγαπηθείη, μηδεμίαν ἐπικουρίαν ἀλλήλοις ἔχοντα; ἔστιν ὅπως;—Οὐκ ἔστιν.—Ὃ δὲ μὴ ἀγαπῷτο, πῶς φίλον;—Οὐδαμῶς.—Ἀλλὰ δὴ ὁ μὲν ὅμοιος τῷ ὁμοίῳ οὐ φίλος· ὁ δὲ ἀγαθὸς τῷ ἀγαθῷ

b 8 οὐ T W: om. B c 1 προσίῃ T: προσείη B c 2 δὲ in ras. refinxit B² d 2 εἴη T: ἂν εἴη B σχολῇ γέ B T: σχολῇ γ' ἂν Bekker γένοιτ' ἂν scripsi: γένοιτο B T e 2 τί γε] γέ τι ci. H. Richards e 6 ἔχειν B: ἔχει T: secl. Schanz e 7 prius ὃ] ἣν ci. H. Richards αὑτῷ B T: αὐτό T²



καθ' ὅσον ἀγαθός, οὐ καθ' ὅσον ὅμοιος, φίλος ἂν εἴη;—Ἴσως. —Τί δέ; οὐχ ὁ ἀγαθός, καθ' ὅσον ἀγαθός, κατὰ τοσοῦτον ἱκανὸς ἂν εἴη αὑτῷ;—Ναί.—Ὁ δέ γε ἱκανὸς οὐδενὸς δεόμενος κατὰ τὴν ἱκανότητα.—Πῶς γὰρ οὔ;—Ὁ δὲ μή του
δεόμενος οὐδέ τι ἀγαπῴη ἄν.—Οὐ γὰρ οὖν.—Ὃ δὲ μὴ b
ἀγαπῴη, οὐδ' ἂν φιλοῖ.—Οὐ δῆτα.—Ὁ δὲ μὴ φιλῶν γε οὐ φίλος.—Οὐ φαίνεται.—Πῶς οὖν οἱ ἀγαθοὶ τοῖς ἀγαθοῖς ἡμῖν φίλοι ἔσονται τὴν ἀρχήν, οἳ μήτε ἀπόντες ποθεινοὶ ἀλλήλοις—ἱκανοὶ γὰρ ἑαυτοῖς καὶ χωρὶς ὄντες—μήτε παρόντες χρείαν αὐτῶν ἔχουσιν; τοὺς δὴ τοιούτους τίς μηχανὴ περὶ πολλοῦ ποιεῖσθαι ἀλλήλους;—Οὐδεμία, ἔφη.—Φίλοι
δέ γε οὐκ ἂν εἶεν μὴ περὶ πολλοῦ ποιούμενοι ἑαυτούς.— c
Ἀληθῆ.

Ἄθρει δή, ὦ Λύσι, πῇ παρακρουόμεθα. ἆρά γε ὅλῳ τινὶ ἐξαπατώμεθα;—Πῶς δή; ἔφη.—Ἤδη ποτέ του ἤκουσα λέγοντος, καὶ ἄρτι ἀναμιμνῄσκομαι, ὅτι τὸ μὲν ὅμοιον τῷ ὁμοίῳ καὶ οἱ ἀγαθοὶ τοῖς ἀγαθοῖς πολεμιώτατοι εἶεν· καὶ δὴ καὶ τὸν Ἡσίοδον ἐπήγετο μάρτυρα, λέγων ὡς ἄρα—

> καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ ἀοιδὸς ἀοιδῷ
> καὶ πτωχὸς πτωχῷ, d

καὶ τἆλλα δὴ πάντα οὕτως ἔφη ἀναγκαῖον εἶναι μάλιστα τὰ ὁμοιότατα ⟨πρὸς⟩ ἄλληλα φθόνου τε καὶ φιλονικίας καὶ ἔχθρας ἐμπίμπλασθαι, τὰ δ' ἀνομοιότατα φιλίας· τὸν γὰρ πένητα τῷ πλουσίῳ ἀναγκάζεσθαι φίλον εἶναι καὶ τὸν ἀσθενῆ τῷ ἰσχυρῷ τῆς ἐπικουρίας ἕνεκα, καὶ τὸν κάμνοντα τῷ ἰατρῷ, καὶ πάντα δὴ τὸν μὴ εἰδότα ἀγαπᾶν τὸν εἰδότα καὶ φιλεῖν.
καὶ δὴ καὶ ἔτι ἐπεξῄει τῷ λόγῳ μεγαλοπρεπέστερον, λέγων e
ὡς ἄρα παντὸς δέοι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον εἶναι, ἀλλ' αὐτὸ τὸ ἐναντίον εἴη τούτου· τὸ γὰρ ἐναντιώτατον τῷ ἐναντιωτάτῳ εἶναι μάλιστα φίλον. ἐπιθυμεῖν γὰρ τοῦ

b 1 ὃ . . . ἀγαπῴη] ὁ . . . ἀγαπῶν ci. Schleiermacher d 2 ἔφη B W: ἐφάνη T d 3 πρὸς add. corr. Coisl. d 7 φιλεῖν T W: φιλεῖν καὶ φιλει*** B: φιλεῖν καὶ φιλεῖσθαι b e 4 ἐπιθυμεῖν T W: ἐπιθυμεῖ B

τοιούτου ἕκαστον, ἀλλ' οὐ τοῦ ὁμοίου· τὸ μὲν γὰρ ξηρὸν
ὑγροῦ, τὸ δὲ ψυχρὸν θερμοῦ, τὸ δὲ πικρὸν γλυκέος, τὸ δὲ
ὀξὺ ἀμβλέος, τὸ δὲ κενὸν πληρώσεως, καὶ τὸ πλῆρες δὲ
κενώσεως, καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον. τροφὴν
γὰρ εἶναι τὸ ἐναντίον τῷ ἐναντίῳ· τὸ γὰρ ὅμοιον τοῦ ὁμοίου
216 οὐδὲν ἂν ἀπολαῦσαι. καὶ μέντοι, ὦ ἑταῖρε, καὶ κομψὸς
ἐδόκει εἶναι ταῦτα λέγων· εὖ γὰρ ἔλεγεν. ὑμῖν δέ, ἦν δ'
ἐγώ, πῶς δοκεῖ λέγειν;—Εὖ γε, ἔφη ὁ Μενέξενος, ὥς γε
οὑτωσὶ ἀκοῦσαι.—Φῶμεν ἄρα τὸ ἐναντίον τῷ ἐναντίῳ μά-
λιστα φίλον εἶναι;—Πάνυ γε.—Εἶεν, ἦν δ' ἐγώ· οὐκ ἀλλό-
κοτον, ὦ Μενέξενε; καὶ ἡμῖν εὐθὺς ἅσμενοι ἐπιπηδήσονται
οὗτοι οἱ πάσσοφοι ἄνδρες, οἱ ἀντιλογικοί, καὶ ἐρήσονται εἰ
b οὐκ ἐναντιώτατον ἔχθρα φιλίᾳ; οἷς τί ἀποκρινούμεθα; ἢ
οὐκ ἀνάγκη ὁμολογεῖν ὅτι ἀληθῆ λέγουσιν;—Ἀνάγκη.—Ἆρ'
οὖν, φήσουσιν, τὸ ἐχθρὸν τῷ φίλῳ φίλον ἢ τὸ φίλον τῷ
ἐχθρῷ;—Οὐδέτερα, ἔφη.—Ἀλλὰ τὸ δίκαιον τῷ ἀδίκῳ, ἢ τὸ
σῶφρον τῷ ἀκολάστῳ, ἢ τὸ ἀγαθὸν τῷ κακῷ;—Οὐκ ἄν μοι
δοκεῖ οὕτως ἔχειν.—Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, εἴπερ γε κατὰ
τὴν ἐναντιότητά τί τῳ [φίλῳ] φίλον ἐστίν, ἀνάγκη καὶ ταῦτα
φίλα εἶναι.—Ἀνάγκη.—Οὔτε ἄρα τὸ ὅμοιον τῷ ὁμοίῳ οὔτε
τὸ ἐναντίον τῷ ἐναντίῳ φίλον.—Οὐκ ἔοικεν.

c Ἔτι δὲ καὶ τόδε σκεψώμεθα, μὴ ἔτι μᾶλλον ἡμᾶς λανθά-
νει τὸ φίλον ὡς ἀληθῶς οὐδὲν τούτων ὄν, ἀλλὰ τὸ μήτε
ἀγαθὸν μήτε κακὸν φίλον οὕτω ποτὲ γιγνόμενον τοῦ ἀγαθοῦ.
—Πῶς, ἦ δ' ὅς, λέγεις;—Ἀλλὰ μὰ Δία, ἦν δ' ἐγώ, οὐκ
οἶδα, ἀλλὰ τῷ ὄντι αὐτὸς εἰλιγγιῶ ὑπὸ τῆς τοῦ λόγου ἀπο-
ρίας, καὶ κινδυνεύει κατὰ τὴν ἀρχαίαν παροιμίαν τὸ καλὸν
φίλον εἶναι. ἔοικε γοῦν μαλακῷ τινι καὶ λείῳ καὶ λιπαρῷ·
d διὸ καὶ ἴσως ῥᾳδίως διολισθαίνει καὶ διαδύεται ἡμᾶς, ἅτε
τοιοῦτον ὄν. λέγω γὰρ τἀγαθὸν καλὸν εἶναι· σὺ δ' οὐκ

a 5 ἀλλόκοτον Baiter: ἀλλοκότων BT: ἀλλοκότως t b 4 ἢ τὸ T: τὸ B (sed ἢ suprascr. B²) b 7 τῳ φίλον Cornarius: τῷ φίλῳ φίλον Bt: τῷ φίλον φίλον T c 1 ἔτι μᾶλλον TW: om. B λανθάνει] ει in ras. B d 1 ἴσως] οὕτως Schanz



οἴει;—Ἔγωγε.—Λέγω τοίνυν ἀπομαντευόμενος, τοῦ καλοῦ
τε καὶ ἀγαθοῦ φίλον εἶναι τὸ μήτε ἀγαθὸν μήτε κακόν·
πρὸς ἃ δὲ λέγων μαντεύομαι, ἄκουσον. δοκεῖ μοι ὡσπερεὶ
τρία ἄττα εἶναι γένη, τὸ μὲν ἀγαθόν, τὸ δὲ κακόν, τὸ δ' οὔτ'
ἀγαθὸν οὔτε κακόν· τί δὲ σοί;—Καὶ ἐμοί, ἔφη.—Καὶ οὔτε
τἀγαθὸν τἀγαθῷ οὔτε τὸ κακὸν τῷ κακῷ οὔτε τἀγαθὸν τῷ
κακῷ φίλον εἶναι, ὥσπερ οὐδ' ὁ ἔμπροσθεν λόγος ἐᾷ· λεί- e
πεται δή, εἴπερ τῴ τί ἐστιν φίλον, τὸ μήτε ἀγαθὸν μήτε
κακὸν φίλον εἶναι ἢ τοῦ ἀγαθοῦ ἢ τοῦ τοιούτου οἷον αὐτό
ἐστιν. οὐ γὰρ ἄν που τῷ κακῷ φίλον ἄν τι γένοιτο.—
Ἀληθῆ.—Οὐδὲ μὴν τὸ ὅμοιον τῷ ὁμοίῳ ἔφαμεν ἄρτι· ἦ
γάρ;—Ναί.—Οὐκ ἄρα ἔσται τῷ μήτε ἀγαθῷ μήτε κακῷ τὸ
τοιοῦτον φίλον οἷον αὐτό.—Οὐ φαίνεται.—Τῷ ἀγαθῷ ἄρα
τὸ μήτε ἀγαθὸν μήτε κακὸν μόνῳ μόνον συμβαίνει γίγνεσθαι 217
φίλον.—Ἀνάγκη, ὡς ἔοικεν.

Ἆρ' οὖν καὶ καλῶς, ἦν δ' ἐγώ, ὦ παῖδες, ὑφηγεῖται ἡμῖν
τὸ νῦν λεγόμενον; εἰ γοῦν θέλοιμεν ἐννοῆσαι τὸ ὑγιαῖνον
σῶμα, οὐδὲν ἰατρικῆς δεῖται οὐδὲ ὠφελίας· ἱκανῶς γὰρ ἔχει,
ὥστε ὑγιαίνων οὐδεὶς ἰατρῷ φίλος διὰ τὴν ὑγίειαν. ἦ γάρ;
—Οὐδείς.—Ἀλλ' ὁ κάμνων οἶμαι διὰ τὴν νόσον.—Πῶς γὰρ
οὔ;—Νόσος μὲν δὴ κακόν, ἰατρικὴ δὲ ὠφέλιμον καὶ ἀγαθόν. b
—Ναί.—Σῶμα δέ γέ που κατὰ τὸ σῶμα εἶναι οὔτε ἀγαθὸν
οὔτε κακόν.—Οὕτως.—Ἀναγκάζεται δέ γε σῶμα διὰ νόσον
ἰατρικὴν ἀσπάζεσθαι καὶ φιλεῖν.—Δοκεῖ μοι.—Τὸ μήτε
κακὸν ἄρα μήτ' ἀγαθὸν φίλον γίγνεται τοῦ ἀγαθοῦ διὰ κακοῦ
παρουσίαν.—Ἔοικεν.—Δῆλον δέ γε ὅτι πρὶν γενέσθαι αὐτὸ
κακὸν ὑπὸ τοῦ κακοῦ οὗ ἔχει. οὐ γὰρ δή γε κακὸν γεγονὸς
ἔτι ἄν τι τοῦ ἀγαθοῦ [οὗ] ἐπιθυμοῖ καὶ φίλον εἴη· ἀδύνατον c
γὰρ ἔφαμεν κακὸν ἀγαθῷ φίλον εἶναι.—Ἀδύνατον γάρ.—

d 5 λέγων] βλέπων ci. anonymus apud Heindorf e 2 δή Heindorf: δ' BT e 3 τοῦ ἀγαθοῦ B: οὐ τοῦ ἀγαθοῦ T e 4 ἄν που] δήπου Schanz a 1 γίγνεσθαι φίλον TW: γίγνεσθαι B a 4 ἐθέλοιμεν Ast c 1 ἔτι ci. Salvini: ἐστι B: ἐστιν T ἄν τι ‵. Schmidt: ἀντὶ BT: ἂν Heindorf οὗ om. recc.

Σκέψασθε δὴ ὃ λέγω. λέγω γὰρ ὅτι ἔνια μέν, οἷον ἂν ᾖ τὸ παρόν, τοιαῦτά ἐστι καὶ αὐτά, ἔνια δὲ οὔ. ὥσπερ εἰ ἐθέλοι τις χρώματί τῳ ὁτιοῦν [τι] ἀλεῖψαι, πάρεστίν που τῷ ἀλειφθέντι τὸ ἐπαλειφθέν.—Πάνυ γε.—Ἆρ' οὖν καὶ ἔστιν τότε τοιοῦτον τὴν χρόαν τὸ ἀλειφθέν, οἷον τὸ ἐπόν;
d —Οὐ μανθάνω, ἦ δ' ὅς.—Ἀλλ' ὧδε, ἦν δ' ἐγώ. εἴ τίς σου ξανθὰς οὔσας τὰς τρίχας ψιμυθίῳ ἀλείψειεν, πότερον τότε λευκαὶ εἶεν ἢ φαίνοιντ' ἄν;—Φαίνοιντ' ἄν, ἦ δ' ὅς.—Καὶ μὴν παρείη γ' ἂν αὐταῖς λευκότης.—Ναί.—Ἀλλ' ὅμως οὐδέν τι μᾶλλον ἂν εἶεν λευκαί πω, ἀλλὰ παρούσης λευκότητος οὔτε τι λευκαὶ οὔτε μέλαιναί εἰσιν.—Ἀληθῆ.—Ἀλλ' ὅταν δή, ὦ φίλε, τὸ γῆρας αὐταῖς ταὐτὸν τοῦτο χρῶμα ἐπαγάγῃ, τότε ἐγένοντο οἷόνπερ τὸ παρόν, λευκοῦ παρουσίᾳ
e λευκαί.—Πῶς γὰρ οὔ;—Τοῦτο τοίνυν ἐρωτῶ νῦν δή, εἰ ᾧ ἄν τι παρῇ, τοιοῦτον ἔσται τὸ ἔχον οἷον τὸ παρόν· ἢ ἐὰν μὲν κατά τινα τρόπον παρῇ, ἔσται, ἐὰν δὲ μή, οὔ;—Οὕτω μᾶλλον, ἔφη.—Καὶ τὸ μήτε κακὸν ἄρα μήτ' ἀγαθὸν ἐνίοτε κακοῦ παρόντος οὔπω κακόν ἐστιν, ἔστιν δ' ὅτε ἤδη τὸ τοιοῦτον γέγονεν.—Πάνυ γε.—Οὐκοῦν ὅταν μήπω κακὸν ᾖ κακοῦ παρόντος, αὕτη μὲν ἡ παρουσία ἀγαθοῦ αὐτὸ ποιεῖ ἐπιθυμεῖν· ἡ δὲ κακὸν ποιοῦσα ἀποστερεῖ αὐτὸ τῆς τε ἐπιθυμίας ἅμα καὶ τῆς φιλίας τοῦ ἀγαθοῦ. οὐ γὰρ ἔτι ἐστὶν
218 οὔτε κακὸν οὔτε ἀγαθόν, ἀλλὰ κακόν· φίλον δὲ ἀγαθῷ κακὸν οὐκ ἦν.—Οὐ γὰρ οὖν.—Διὰ ταῦτα δὴ φαῖμεν ἂν καὶ τοὺς ἤδη σοφοὺς μηκέτι φιλοσοφεῖν, εἴτε θεοὶ εἴτε ἄνθρωποί εἰσιν οὗτοι· οὐδ' αὖ ἐκείνους φιλοσοφεῖν τοὺς οὕτως ἄγνοιαν ἔχοντας ὥστε κακοὺς εἶναι· κακὸν γὰρ καὶ ἀμαθῆ οὐδένα φιλοσοφεῖν. λείπονται δὴ οἱ ἔχοντες μὲν τὸ κακὸν τοῦτο, τὴν ἄγνοιαν, μήπω δὲ ὑπ' αὐτοῦ ὄντες ἀγνώμονες μηδὲ

c 5 τι B T W: om. recc. c 6 πάνυ γε B W: om. T c 7 ἀλειφθέν Heindorf: ἐπαλειφθέν B T ἐπόν (vel ἐπιόν) Heindorf: ἔτι ὄν B T d 3 τότε Heindorf: ποτε B T altero loco φαίνοιτ' ἂν B d 7 τοῦτο B: τοῦτο τὸ T a 1 ἀγαθῷ κακὸν Heindorf: ἀγαθῶν κακῷ T: ἀγαθὸν κακῷ Bt



ἀμαθεῖς, ἀλλ' ἔτι ἡγούμενοι μὴ εἰδέναι ἃ μὴ ἴσασιν. διὸ b
δὴ καὶ φιλοσοφοῦσιν οἱ οὔτε ἀγαθοὶ οὔτε κακοί πω ὄντες, ὅσοι δὲ κακοὶ οὐ φιλοσοφοῦσιν, οὐδὲ οἱ ἀγαθοί· οὔτε γὰρ τὸ ἐναντίον τοῦ ἐναντίου οὔτε τὸ ὅμοιον τοῦ ὁμοίου φίλον ἡμῖν ἐφάνη ἐν τοῖς ἔμπροσθεν λόγοις. ἢ οὐ μέμνησθε;—Πάνυ γε, ἐφάτην.—Νῦν ἄρα, ἦν δ' ἐγώ, ὦ Λύσι τε καὶ Μενέξενε, παντὸς μᾶλλον ἐξηυρήκαμεν ὃ ἔστιν τὸ φίλον καὶ οὔ. φαμὲν γὰρ αὐτό, καὶ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα καὶ πανταχοῦ, τὸ μήτε κακὸν μήτε ἀγαθὸν διὰ κακοῦ c
παρουσίαν τοῦ ἀγαθοῦ φίλον εἶναι.—Παντάπασιν ἐφάτην τε καὶ συνεχωρείτην οὕτω τοῦτ' ἔχειν.

Καὶ δὴ καὶ αὐτὸς ἐγὼ πάνυ ἔχαιρον, ὥσπερ θηρευτής τις, ἔχων ἀγαπητῶς ὃ ἐθηρευόμην. κᾆπειτ' οὐκ οἶδ' ὁπόθεν μοι ἀτοπωτάτη τις ὑποψία εἰσῆλθεν ὡς οὐκ ἀληθῆ εἴη τὰ ὡμολογημένα ἡμῖν, καὶ εὐθὺς ἀχθεσθεὶς εἶπον· Βαβαῖ, ὦ Λύσι τε καὶ Μενέξενε, κινδυνεύομεν ὄναρ πεπλουτηκέναι.

Τί μάλιστα; ἔφη ὁ Μενέξενος. d

Φοβοῦμαι, ἦν δ' ἐγώ, μὴ ὥσπερ ἀνθρώποις ἀλαζόσιν λόγοις τισὶν τοιούτοις [ψευδέσιν] ἐντετυχήκαμεν περὶ τοῦ φίλου.

Πῶς δή; ἔφη.

Ὧδε, ἦν δ' ἐγώ, σκοπῶμεν· φίλος ὃς ἂν εἴη, πότερόν ἐστίν τῳ φίλος ἢ οὔ;—Ἀνάγκη, ἔφη.—Πότερον οὖν οὐδενὸς ἕνεκα καὶ δι' οὐδέν, ἢ ἕνεκά του καὶ διά τι;—Ἕνεκά του καὶ διά τι.—Πότερον φίλου ὄντος ἐκείνου τοῦ πράγματος, οὗ ἕνεκα φίλος ὁ φίλος τῷ φίλῳ, ἢ οὔτε φίλου οὔτε ἐχθροῦ;
e —Οὐ πάνυ, ἔφη, ἕπομαι.—Εἰκότως γε, ἦν δ' ἐγώ· ἀλλ' ὧδε ἴσως ἀκολουθήσεις, οἶμαι δὲ καὶ ἐγὼ μᾶλλον εἴσομαι ὅτι λέγω. ὁ κάμνων, νυνδὴ ἔφαμεν, τοῦ ἰατροῦ φίλος· οὐχ οὕτως;—Ναί.—Οὐκοῦν διὰ νόσον ἕνεκα ὑγιείας τοῦ ἰατροῦ

b 6 πάνυ γε ἐφάτην· νῦν ἄρα B: νῦν πάνυ γε ἐφάτην ἄρα T W b 8 αὐτό] fort. οὕτω H. Richards d 3 ψευδέσιν secl. ci. Heindorf d 6 πότερον scr. recc.: πότερος B T W e 3 ἔφαμεν Heindorf: φαμὲν B T

φίλος;—Ναί.—Ἡ δέ γε νόσος κακόν;—Πῶς δ᾽ οὔ;—Τί δὲ ὑγίεια; ἦν δ᾽ ἐγώ· ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερα;—Ἀγαθόν,
219 ἔφη.—Ἐλέγομεν δ᾽ ἄρα, ὡς ἔοικεν, ὅτι τὸ σῶμα, οὔτε ἀγαθὸν οὔτε κακὸν ⟨ὄν⟩, διὰ τὴν νόσον, τοῦτο δὲ διὰ τὸ κακόν, τῆς ἰατρικῆς φίλον ἐστίν, ἀγαθὸν δὲ ἰατρική· ἕνεκα δὲ τῆς ὑγιείας τὴν φιλίαν ἡ ἰατρικὴ ἀνῄρηται, ἡ δὲ ὑγίεια ἀγαθόν. ἦ γάρ;—Ναί.—Φίλον δὲ ἢ οὐ φίλον ἡ ὑγίεια;—Φίλον.—Ἡ δὲ νόσος ἐχθρόν.—Πάνυ γε.—Τὸ οὔτε κακὸν οὔτε
b ἀγαθὸν ἄρα διὰ τὸ κακὸν καὶ τὸ ἐχθρὸν τοῦ ἀγαθοῦ φίλον ἐστὶν ἕνεκα τοῦ ἀγαθοῦ καὶ φίλου.—Φαίνεται.—Ἕνεκα ἄρα τοῦ φίλου ⟨τοῦ φίλου⟩ τὸ φίλον φίλον διὰ τὸ ἐχθρόν.—Ἔοικεν.

Εἶεν, ἦν δ᾽ ἐγώ. ἐπειδὴ ἐνταῦθα ἥκομεν, ὦ παῖδες, πρόσσχωμεν τὸν νοῦν μὴ ἐξαπατηθῶμεν. ὅτι μὲν γὰρ φίλον τοῦ φίλου τὸ φίλον γέγονεν, ἐῶ χαίρειν, καὶ τοῦ ὁμοίου γε τὸ ὅμοιον φίλον γίγνεται, ὅ φαμεν ἀδύνατον εἶναι· ἀλλ᾽ ὅμως τόδε σκεψώμεθα, μὴ ἡμᾶς ἐξαπατήσῃ τὸ νῦν λεγό-
c μενον. ἡ ἰατρική, φαμέν, ἕνεκα τῆς ὑγιείας φίλον.—Ναί.—Οὐκοῦν καὶ ἡ ὑγίεια φίλον;—Πάνυ γε.—Εἰ ἄρα φίλον, ἕνεκά του.—Ναί.—Φίλου γέ τινος δή, εἴπερ ἀκολουθήσει τῇ πρόσθεν ὁμολογίᾳ.—Πάνυ γε.—Οὐκοῦν καὶ ἐκεῖνο φίλον αὖ ἔσται ἕνεκα φίλου;—Ναί.—Ἆρ᾽ οὖν οὐκ ἀνάγκη ἀπειπεῖν ἡμᾶς οὕτως ἰόντας ἢ ἀφικέσθαι ἐπί τινα ἀρχήν, ἣ οὐκέτ᾽ ἐπανοίσει ἐπ᾽ ἄλλο φίλον, ἀλλ᾽ ἥξει ἐπ᾽ ἐκεῖνο ὅ ἐστιν
d πρῶτον φίλον, οὗ ἕνεκα καὶ τὰ ἄλλα φαμὲν πάντα φίλα εἶναι;—Ἀνάγκη.—Τοῦτο δή ἐστιν ὃ λέγω, μὴ ἡμᾶς τἆλλα πάντα ἃ εἴπομεν ἐκείνου ἕνεκα φίλα εἶναι, ὥσπερ εἴδωλα

a 2 ὂν add. Heindorf   διὰ τὸ κακὸν B (sed διὰ in ras. et τὸ κα extra lineam suppl. B²)   a 3 δὲ] δ᾽ ἡ Heindorf   a 4 ἀνῄρηται BT (sed suprascr. ἐπ B² t)   b 3 τοῦ φίλου addidi: post τὸ φίλον add. Hermann   b 6 πρόσσχωμεν T: πρόσχωμεν B   b 7 γε] γ᾽ ὅτι ci. Madvig   b 8 φαμὲν BT: ἔφαμεν t   c 2 ἡ BT: om. W   c 3 δή W: δεῖ BT (an δή τινος? Schanz)   c 6 ἢ Schanz: καὶ BT   ἣ recc.: ἢ BT: ἢ W   c 7 ἄλλο scr. recc.: ἄλλον BT   ἀλλ᾽ ἥξει secl. Schanz   d 1 ⟨τὸ⟩ πρῶτον Heindorf   d 2 ἡμᾶς τἆλλα T et γρ. W: μάλιστα ἄλλα B: μάλιστα ἀλλὰ B² W



ἅττα ὄντα αὐτοῦ, ἐξαπατᾷ, ᾖ δ᾽ ἐκεῖνο τὸ πρῶτον, ὃ ὡς ἀληθῶς ἐστι φίλον. ἐννοήσωμεν γὰρ οὑτωσί· ὅταν τίς τι περὶ πολλοῦ ποιῆται, οἷόνπερ ἐνίοτε πατὴρ ὑὸν ἀντὶ πάντων τῶν ἄλλων χρημάτων προτιμᾷ, ὁ δὴ τοιοῦτος ἕνεκα τοῦ τὸν
e ὑὸν περὶ παντὸς ἡγεῖσθαι ἆρα καὶ ἄλλο τι ἂν περὶ πολλοῦ ποιοῖτο; οἷον εἰ αἰσθάνοιτο αὐτὸν κώνειον πεπωκότα, ἆρα περὶ πολλοῦ ποιοῖτ᾽ ἂν οἶνον, εἴπερ τοῦτο ἡγοῖτο τὸν ὑὸν σώσειν;—Τί μήν; ἔφη.—Οὐκοῦν καὶ τὸ ἀγγεῖον, ἐν ᾧ ὁ οἶνος ἐνείη;—Πάνυ γε.—Ἆρ᾽ οὖν τότε οὐδὲν περὶ πλείονος ποιεῖται, κύλικα κεραμέαν ἢ τὸν ὑὸν τὸν αὑτοῦ, οὐδὲ τρεῖς κοτύλας οἴνου ἢ τὸν ὑόν; ἢ ὧδέ πως ἔχει· πᾶσα ἡ τοιαύτη σπουδὴ οὐκ ἐπὶ τούτοις ἐστὶν ἐσπουδασμένη, ἐπὶ τοῖς ἕνεκά του παρασκευαζομένοις, ἀλλ᾽ ἐπ᾽ ἐκείνῳ οὗ ἕνεκα πάντα τὰ
220 τοιαῦτα παρασκευάζεται. οὐχ ὅτι πολλάκις λέγομεν ὡς περὶ πολλοῦ ποιούμεθα χρυσίον καὶ ἀργύριον· ἀλλὰ μὴ οὐδέν τι μᾶλλον οὕτω τό γε ἀληθὲς ἔχῃ, ἀλλ᾽ ἐκεῖνό ἐστιν ὃ περὶ παντὸς ποιούμεθα, ὃ ἂν φανῇ ὄν, ὅτου ἕνεκα καὶ χρυσίον καὶ πάντα τὰ παρασκευαζόμενα παρασκευάζεται. ἆρ᾽ οὕτως φήσομεν;—Πάνυ γε.—Οὐκοῦν καὶ περὶ τοῦ φίλου ὁ αὐτὸς λόγος; ὅσα γάρ φαμεν φίλα εἶναι ἡμῖν ἕνεκα φίλου
b τινὸς ἑτέρου, ῥήματι φαινόμεθα λέγοντες αὐτό· φίλον δὲ τῷ ὄντι κινδυνεύει ἐκεῖνο αὐτὸ εἶναι, εἰς ὃ πᾶσαι αὗται αἱ λεγόμεναι φιλίαι τελευτῶσιν.—Κινδυνεύει οὕτως, ἔφη, ἔχειν.—Οὐκοῦν τό γε τῷ ὄντι φίλον οὐ φίλου τινὸς ἕνεκα φίλον ἐστίν;—Ἀληθῆ.

Τοῦτο μὲν δὴ ἀπήλλακται, μὴ φίλου τινὸς ἕνεκα τὸ φίλον φίλον εἶναι· ἀλλ᾽ ἆρα τὸ ἀγαθόν ἐστιν φίλον;—Ἔμοιγε δοκεῖ.—Ἆρ᾽ οὖν διὰ τὸ κακὸν τὸ ἀγαθὸν φιλεῖται,
c καὶ ἔχει ὧδε· εἰ τριῶν ὄντων ὧν νυνδὴ ἐλέγομεν, ἀγαθοῦ καὶ κακοῦ καὶ μήτε ἀγαθοῦ μήτε κακοῦ, τὰ δύο λειφθείη, τὸ

d 5 ἐννοήσω μὲν T   ὅταν ci. Stephanus: ὃ ἂν BT: εἰ ὃ ἂν W   τι secl. Heindorf (servato ὃ ἄν)   e 6 κεραμέαν TW: κεραμέα B   b 1 ἑτέρου Hermann: ἑτέρῳ BT   c 2 λειφθείη Heindorf: λιφθείη (ut videtur) B: ληφθείη B²T

δὲ κακὸν ἐκποδὼν ἀπέλθοι καὶ μηδενὸς ἐφάπτοιτο μήτε
σώματος μήτε ψυχῆς μήτε τῶν ἄλλων, ἃ δή φαμεν αὐτὰ
καθ' αὑτὰ οὔτε κακὰ εἶναι οὔτε ἀγαθά, ἆρα τότε οὐδὲν ἂν
ἡμῖν χρήσιμον εἴη τὸ ἀγαθόν, ἀλλ' ἄχρηστον ἂν γεγονὸς
εἴη; εἰ γὰρ μηδὲν ἡμᾶς ἔτι βλάπτοι, οὐδὲν ἂν οὐδεμιᾶς
d ὠφελίας δεοίμεθα, καὶ οὕτω δὴ ἂν τότε γένοιτο κατάδηλον
ὅτι διὰ τὸ κακὸν τἀγαθὸν ἠγαπῶμεν καὶ ἐφιλοῦμεν, ὡς
φάρμακον ὂν τοῦ κακοῦ τὸ ἀγαθόν, τὸ δὲ κακὸν νόσημα·
νοσήματος δὲ μὴ ὄντος οὐδὲν δεῖ φαρμάκου. ἆρ' οὕτω
πέφυκέ τε καὶ φιλεῖται τἀγαθὸν διὰ τὸ κακὸν ὑφ' ἡμῶν, τῶν
μεταξὺ ὄντων τοῦ κακοῦ τε καὶ τἀγαθοῦ, αὐτὸ δ' ἑαυτοῦ
ἕνεκα οὐδεμίαν χρείαν ἔχει;—Ἔοικεν, ἦ δ' ὅς, οὕτως ἔχειν.
—Τὸ ἄρα φίλον ἡμῖν ἐκεῖνο, εἰς ὃ ἐτελεύτα πάντα τὰ ἄλλα
e —ἕνεκα ἑτέρου φίλου φίλα ἔφαμεν εἶναι ἐκεῖνα—οὐδὲν [δὲ]
τούτοις ἔοικεν. ταῦτα μὲν γὰρ φίλου ἕνεκα φίλα κέκληται,
τὸ δὲ τῷ ὄντι φίλον πᾶν τοὐναντίον τούτου φαίνεται πεφυ-
κός· φίλον γὰρ ἡμῖν ἀνεφάνη ὂν ἐχθροῦ ἕνεκα, εἰ δὲ τὸ
ἐχθρὸν ἀπέλθοι, οὐκέτι, ὡς ἔοικ', ἔσθ' ἡμῖν φίλον.—Οὔ μοι
δοκεῖ, ἔφη, ὥς γε νῦν λέγεται.—Πότερον, ἦν δ' ἐγώ, πρὸς
Διός, ἐὰν τὸ κακὸν ἀπόληται, οὐδὲ πεινῆν ἔτι ἔσται οὐδὲ
221 διψῆν οὐδὲ ἄλλο οὐδὲν τῶν τοιούτων; ἢ πείνη μὲν ἔσται,
ἐάνπερ ἄνθρωποί τε καὶ τἆλλα ζῷα ᾖ, οὐ μέντοι βλαβερά
γε; καὶ δίψα δὴ καὶ αἱ ἄλλαι ἐπιθυμίαι, ἀλλ' οὐ κακαί, ἅτε
τοῦ κακοῦ ἀπολωλότος; ἢ γελοῖον τὸ ἐρώτημα, ὅτι ποτ'
ἔσται τότε ἢ μὴ ἔσται; τίς γὰρ οἶδεν; ἀλλ' οὖν τόδε γ'
ἴσμεν, ὅτι καὶ νῦν ἔστιν πεινῶντα βλάπτεσθαι, ἔστιν δὲ καὶ
ὠφελεῖσθαι. ἢ γάρ;—Πάνυ γε.—Οὐκοῦν καὶ διψῶντα καὶ
b τῶν ἄλλων τῶν τοιούτων πάντων ἐπιθυμοῦντα ἔστιν ἐνίοτε
μὲν ὠφελίμως ἐπιθυμεῖν, ἐνίοτε δὲ βλαβερῶς, ἐνίοτε δὲ
μηδέτερα;—Σφόδρα γε.—Οὐκοῦν ἐὰν ἀπολλύηται τὰ κακά,
ἅ γε μὴ τυγχάνει ὄντα κακά, τί προσήκει τοῖς κακοῖς συν-

e 1 ἃ ante ἕνεκα add. Cornarius secl. mox ἐκεῖνα post εἶναι δὲ] δὴ Heindorf: om. Cornarius a 2 ἐάνπερ] ἕωσπερ ἂν ci. H. Richards b 4 τυγχάνει scr. recc.: τυγχάνῃ B T W



απόλλυσθαι;—Οὐδέν.—Ἔσονται ἄρα αἱ μήτε ἀγαθαὶ μήτε
κακαὶ ἐπιθυμίαι καὶ ἐὰν ἀπόληται τὰ κακά.—Φαίνεται.—
Οἷόν τε οὖν ἐστιν ἐπιθυμοῦντα καὶ ἐρῶντα τούτου οὗ ἐπι-
θυμεῖ καὶ ἐρᾷ μὴ φιλεῖν;—Οὐκ ἔμοιγε δοκεῖ.—Ἔσται ἄρα
καὶ τῶν κακῶν ἀπολομένων, ὡς ἔοικεν, φίλ' ἄττα.—Ναί.— c
Οὐκ ἄν, εἴ γε τὸ κακὸν αἴτιον ἦν τοῦ φίλον τι εἶναι, οὐκ ἂν
ἦν τούτου ἀπολομένου φίλον ἕτερον ἑτέρῳ. αἰτίας γὰρ
ἀπολομένης ἀδύνατόν που ἦν ἔτ' ἐκεῖνο εἶναι, οὗ ἦν αὕτη ἡ
αἰτία.—Ὀρθῶς λέγεις.—Οὐκοῦν ὡμολόγηται ἡμῖν τὸ φίλον
φιλεῖν τι καὶ διά τι· καὶ ᾠήθημεν τότε γε διὰ τὸ κακὸν τὸ
μήτε ἀγαθὸν μήτε κακὸν τὸ ἀγαθὸν φιλεῖν;—Ἀληθῆ.—
Νῦν δέ γε, ὡς ἔοικε, φαίνεται ἄλλη τις αἰτία τοῦ φιλεῖν τε d
καὶ φιλεῖσθαι.—Ἔοικεν.—Ἆρ' οὖν τῷ ὄντι, ὥσπερ ἄρτι
ἐλέγομεν, ἡ ἐπιθυμία τῆς φιλίας αἰτία, καὶ τὸ ἐπιθυμοῦν
φίλον ἐστὶν τούτῳ οὗ ἐπιθυμεῖ καὶ τότε ὅταν ἐπιθυμῇ, ὃ δὲ
τὸ πρότερον ἐλέγομεν φίλον εἶναι, ὕθλος τις ἦν, ὥσπερ
ποίημα μακρὸν συγκείμενον;—Κινδυνεύει, ἔφη.—Ἀλλὰ μέν-
τοι, ἦν δ' ἐγώ, τό γε ἐπιθυμοῦν, οὗ ἂν ἐνδεὲς ᾖ, τούτου
ἐπιθυμεῖ. ἢ γάρ;—Ναί.—Τὸ δ' ἐνδεὲς ἄρα φίλον ἐκείνου e
οὗ ἂν ἐνδεὲς ᾖ;—Δοκεῖ μοι.—Ἐνδεὲς δὲ γίγνεται οὗ ἄν τι
ἀφαιρῆται.—Πῶς δ' οὔ;—Τοῦ οἰκείου δή, ὡς ἔοικεν, ὅ τε
ἔρως καὶ ἡ φιλία καὶ ἡ ἐπιθυμία τυγχάνει οὖσα, ὡς φαίνεται,
ὦ Μενέξενέ τε καὶ Λύσι.—Συνεφάτην.—Ὑμεῖς ἄρα εἰ φίλοι
ἐστὸν ἀλλήλοις, φύσει πῃ οἰκεῖοί ἐσθ' ὑμῖν αὐτοῖς.—Κομιδῇ,
ἐφάτην.—Καὶ εἰ ἄρα τις ἕτερος ἑτέρου ἐπιθυμεῖ, ἦν δ' ἐγώ,
ὦ παῖδες, ἢ ἐρᾷ, οὐκ ἄν ποτε ἐπεθύμει οὐδὲ ἤρα οὐδὲ ἐφίλει, 222
εἰ μὴ οἰκεῖός πῃ τῷ ἐρωμένῳ ἐτύγχανεν ὢν ἢ κατὰ τὴν
ψυχὴν ἢ κατά τι τῆς ψυχῆς ἦθος ἢ τρόπους ἢ εἶδος.—
Πάνυ γε, ἔφη ὁ Μενέξενος· ὁ δὲ Λύσις ἐσίγησεν.—Εἶεν,

b 6 ἀπόληται scr. recc.: ἀπόλληται B T: ἀπολύηται W c 2 οὐκ ἂν] οὐ τἂν ci. H. Richards c 4 ἂν post ἀδύνατον add. ci. Goldbacher d 6 ποίημα μακρὸν] ποίημα μάτην ci. Ast: ποίημα Κρόνῳ ci. Madvig e 2 τι Stephanus: τις B T e 5 λύσι T: λύσις B a 2 τῷ ἐρωμένῳ T: τῶν ἐρωμένων B W ὢν T: ὂν B a 3 τρόπους B T (sed υ erasum in B)

ἦν δ' ἐγώ. τὸ μὲν δὴ φύσει οἰκεῖον ἀναγκαῖον ἡμῖν πέφανται φιλεῖν.—Ἔοικεν, ἔφη.—Ἀναγκαῖον ἄρα τῷ γνησίῳ ἐράστῇ καὶ μὴ προσποιήτῳ φιλεῖσθαι ὑπὸ τῶν παιδικῶν.—
b Ὁ μὲν οὖν Λύσις καὶ ὁ Μενέξενος μόγις πως ἐπενευσάτην, ὁ δὲ Ἱπποθάλης ὑπὸ τῆς ἡδονῆς παντοδαπὰ ἠφίει χρώματα.

Καὶ ἐγὼ εἶπον, βουλόμενος τὸν λόγον ἐπισκέψασθαι, Εἰ μέν τι τὸ οἰκεῖον τοῦ ὁμοίου διαφέρει, λέγοιμεν ἄν τι, ὡς ἐμοὶ δοκεῖ, ὦ Λύσι τε καὶ Μενέξενε, περὶ φίλου, ὃ ἔστιν· εἰ δὲ ταὐτὸν τυγχάνει ὂν ὅμοιόν τε καὶ οἰκεῖον, οὐ ῥᾴδιον ἀποβαλεῖν τὸν πρόσθεν λόγον, ὡς οὐ τὸ ὅμοιον τῷ ὁμοίῳ κατὰ τὴν ὁμοιότητα ἄχρηστον· τὸ δὲ ἄχρηστον φίλον
c ὁμολογεῖν πλημμελές. βούλεσθ' οὖν, ἦν δ' ἐγώ, ἐπειδὴ ὥσπερ μεθύομεν ὑπὸ τοῦ λόγου, συγχωρήσωμεν καὶ φῶμεν ἕτερόν τι εἶναι τὸ οἰκεῖον τοῦ ὁμοίου;—Πάνυ γε.—Πότερον οὖν καὶ τἀγαθὸν οἰκεῖον θήσομεν παντί, τὸ δὲ κακὸν ἀλλότριον εἶναι; ἢ τὸ μὲν κακὸν τῷ κακῷ οἰκεῖον, τῷ δὲ ἀγαθῷ τὸ ἀγαθόν, τῷ δὲ μήτε ἀγαθῷ μήτε κακῷ τὸ μήτε ἀγαθὸν μήτε κακόν;—Οὕτως ἐφάτην δοκεῖν σφίσιν ἕκαστον ἑκάστῳ
d οἰκεῖον εἶναι.—Πάλιν ἄρα, ἦν δ' ἐγώ, ὦ παῖδες, οὓς τὸ πρῶτον λόγους ἀπεβαλόμεθα περὶ φιλίας, εἰς τούτους εἰσπεπτώκαμεν· ὁ γὰρ ἄδικος τῷ ἀδίκῳ καὶ ὁ κακὸς τῷ κακῷ οὐδὲν ἧττον φίλος ἔσται ἢ ὁ ἀγαθὸς τῷ ἀγαθῷ.—Ἔοικεν, ἔφη.—Τί δέ; τὸ ἀγαθὸν καὶ τὸ οἰκεῖον ἂν ταὐτὸν φῶμεν εἶναι, ἄλλο τι ἢ ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνον φίλος;—Πάνυ γε.—Ἀλλὰ μὴν καὶ τοῦτό γε ᾠόμεθα ἐξελέγξαι ἡμᾶς αὐτούς· ἢ οὐ μέμνησθε;—Μεμνήμεθα.

e Τί οὖν ἂν ἔτι χρησαίμεθα τῷ λόγῳ; ἢ δῆλον ὅτι οὐδέν; δέομαι οὖν, ὥσπερ οἱ σοφοὶ ἐν τοῖς δικαστηρίοις, τὰ εἰρημένα ἅπαντα ἀναπεμπάσασθαι. εἰ γὰρ μήτε οἱ φιλούμενοι μήτε οἱ φιλοῦντες μήτε οἱ ὅμοιοι μήτε οἱ ἀνόμοιοι μήτε οἱ ἀγαθοὶ μήτε οἱ οἰκεῖοι μήτε τὰ ἄλλα ὅσα διεληλύθαμεν—οὐ γὰρ ἔγωγε ἔτι μέμνημαι ὑπὸ τοῦ πλήθους—ἀλλ' εἰ μηδὲν τούτων φίλον ἐστίν, ἐγὼ μὲν οὐκέτι ἔχω τί λέγω.

223 Ταῦτα δ' εἰπὼν ἐν νῷ εἶχον ἄλλον ἤδη τινὰ τῶν πρεσβυτέρων κινεῖν· κᾆτα, ὥσπερ δαίμονές τινες, προσελθόντες οἱ παιδαγωγοί, ὅ τε τοῦ Μενεξένου καὶ ὁ τοῦ Λύσιδος, ἔχοντες αὐτῶν τοὺς ἀδελφούς, παρεκάλουν καὶ ἐκέλευον αὐτοὺς οἴκαδ' ἀπιέναι· ἤδη γὰρ ἦν ὀψέ. τὸ μὲν οὖν πρῶτον καὶ ἡμεῖς καὶ οἱ περιεστῶτες αὐτοὺς ἀπηλαύνομεν· ἐπειδὴ δὲ οὐδὲν ἐφρόντιζον ἡμῶν, ἀλλ' ὑποβαρβαρίζοντες ἠγανάκτουν τε καὶ οὐδὲν ἧττον ἐκάλουν, ἀλλ' ἐδόκουν ἡμῖν ὑποπεπωκότες ἐν τοῖς b
Ἑρμαίοις ἄποροι εἶναι προσφέρεσθαι, ἡττηθέντες οὖν αὐτῶν διελύσαμεν τὴν συνουσίαν. ὅμως δ' ἔγωγε ἤδη ἀπιόντων αὐτῶν, Νῦν μέν, ἦν δ' ἐγώ, ὦ Λύσι τε καὶ Μενέξενε, καταγέλαστοι γεγόναμεν ἐγώ τε, γέρων ἀνήρ, καὶ ὑμεῖς. ἐροῦσι γὰρ οἵδε ἀπιόντες ὡς οἰόμεθα ἡμεῖς ἀλλήλων φίλοι εἶναι—καὶ ἐμὲ γὰρ ἐν ὑμῖν τίθημι—οὔπω δὲ ὅτι ἔστιν ὁ φίλος οἷοί τε ἐγενόμεθα ἐξευρεῖν.

b 4 τί ὡς T : πως B W  b 7 ἀποβαλεῖν T : ἀπολιπεῖν B : ἀπολεῖν W sed γρ. καὶ ἀπολιπεῖν καὶ ἀποβαλεῖν in marg. W  c 2 μεθύομεν in marg. T : μυθεύομεν B T  c 4 θήσομεν] φήσομεν Schanz  d 6 ἄλλο τι T : ἢ ἄλλο τι B  e 3 ἀναπεμπάσασθαι B (sed ε supra αι B²)  e 7 φίλον B : φίλων T  a 2 κᾆτα B : κἆτα T : εἶτα in marg. T  b 1 ἀλλ'] καὶ Heindorf ὑποπεπωκότες B (sed πω refinxit B²) : ὑποπεπτωκότες T

BIBLIOTHECA
SCRIPTORUM GRAECORUM ET ROMANORUM
TEUBNERIANA

BT 1431

# HOMERUS

# ILIAS

## VOLUMEN PRIUS
## RHAPSODIAE I–XII

RECENSUIT ET TESTIMONIA CONGESSIT
MARTIN L. WEST

EDITIO STEREOTYPA
EDITIONIS PRIORIS (MCMXCVIII)

DE GRUYTER

w29 P. Oxy. 2429 (Pack$^2$ 362; s. ii): comm. in Epicharmum.
w32 P.S.I. 1000 (Pack$^2$ 2463; s. ii): Mythographus Homericus.
w34 P. Berol. inv. 13876 (Pack$^2$ 2436; s. ii): mimus.
w35 P. Oxy. 3001 (s. ii): cento.
w37 P. Vars. 2 (Pack$^2$ 2435; s. ii): mimus.
w39 P. Mag. 4 (Pack$^2$ 746; s. iii–iv): magica.
w40 P. Oxy. 3831 (s. iii–iv): Homeromantium.
w41 P. Rain. inv. 26765 (s. ii–iii): narratio.
w43 P. Berol. inv. 21116v: prosa.
w44 P. Mag. 6 (P. Bibl. Brit. inv. 47; Pack$^2$ 568; s. ii–iii): magica.
w45 P. Ien. inv. 659 (s. iii): prosa.

## GRAMMATICI

Ammon Ammonius
Antim Antimachus
ApD Apollonius Dyscolus
ApH 'Apio et Herodorus' apud Eustathium
ApS Apollonius Sophista
Ar Aristarchus
$Ar^a$, $Ar^b$ Didymi exemplaria duo Aristarchea
Arn Aristonicus
Arph Aristophanes Byzantius
Callistr Callistratus
Did Didymus
DSid Dionysius Sidonius
DThr Dionysius Thrax
EtG Etymologicum Genuinum
EtM Etymologicum Magnum
Hdn Herodianus
Ixio Demetrius Ixio
Nic Nicanor
Pamph Pamphilus
Philox Philoxenus
Ptol Ptolemaeus Ascalonita
Rhi Rhianus
Sel Seleucus
Sosig Sosigenes
Tyr Tyrannio
Zen Zenodotus

## FONTES ALII ANTIQVIORES

𝔄 ed. Argolica
𝔎 ed. Cretensis
𝔐 ed. Massaliotica



ℭ ed. Cypria
𝔖 ed. Sinopensis
𝔛 ed. Chia
𝔓 ἡ πολύστιχος
sch scholia
$sch^{bT}$ scholia in libris B C E F T tradita
$sch^D$ scholia minora quae dicuntur
$sch^h$ scholia in libris M N P tradita
$sch^{h40}$ scholia papyri h40
$sch^{p21}$ scholia papyri 21
tt testimonia auctorum antiquorum
t testimonium auctoris unius
tt*, t* testimonia cetera, testimonium reliquum

## CODICES MINVSCVLI

A Marc. gr. 822 (olim 454), saec. x
B Marc. gr. 821 (olim 453), saec. xi
C Laur. 32.3, saec. xi–xii
D Laur. 32.15, saec. x (sed in A–Δ saec. xii)
E Scorial. Υ.I.1 (291), saec. xi (sed in A 29–200 saec. xii)
F Scorial. Ω.I.12 (509), saec. xi
G Genav. 44, saec. xiii
H Vindob. phil. gr. 117, saec. xiii
M Ambros. gr. A 181 sup. (74), saec. xiii
N Marc. gr. 841 (olim 458), saec. xii–xiii
O Oxon. Bodl. New College 298, saec. xiii
P Paris. gr. 2766, saec. xiv
R Oxon. Bodl. Auct. T.2.7, saec. xii
T Lond. Bibl. Brit. Burney 86, ann. 1059
V Vat. gr. 26, saec. xiii
W Vat. gr. 1319, saec. xii
X Sinaiticus, saec. ix (fragmentum: Δ 367–?)
Y Paris. suppl. gr. 663, saec. xi (fragmenta, excerpta)
Z Rom. Bibl. Nat. gr. 6 + Matrit. 4626, saec. ix (lemmata et $sch^D$)

*b* archetypus librorum B C E
*h* archetypus librorum M N P
Ω libri A D B C E F T (Y) R W G
Ω* tot horum quot non singuli laudantur

## SIGLA CETERA

$A^a$ A ante correcturam
$A^a$? A, fortasse ante correcturam
$A^{a?}$ fortasse A ante correcturam

| | |
|---|---|
| $A^c$ | A post correcturam |
| $A^{gl}$ | glossema in A |
| $A^{\gamma\rho}$ | varia lectio in A adscripta |
| $A^{\lambda}$ | lemma scholii in A |
| $A^m$ | A in margine |
| $A^r$ | A in rasura |
| $A^s$ | A super lineam |
| $A^t$ | A in textu |
| $A^x$ | A ante vel post correcturam (incertum utrum) |
| $A^2$ | manus recentior in A |
| \|\|\| | littera erasa |
| [ ] | textus papyri periit |
| [373] | papyri lectio lacunae mensura indicatur |
| \` ´ | inseruit scriba |
| ⟦ ⟧ | delevit scriba |
| { } | interpolata videntur |
| † † | corrupta videntur |
| \| | finis versus vel lineae |

| | |
|---|---|
| agn. | agnoscit |
| ath. | ἠθέτηκε |
| ci. | coniecit |
| coniung. | coniungunt |
| damn. | damnavit |
| def. | defendit |
| deprec. | deprecatur |
| flagit. | flagitavit |
| gl. | glossema |
| hab. | habe(n)t, habuit, habuerunt |
| m. al. | manus alia |
| mg. | in margine |
| m. rec. | manus recentior |
| negl. | neglexit |
| nov. | novit, noverunt |
| om. | omisit |
| prob. | probavit |
| rest. | restituit |
| sec. | secundum |
| ss. | suprascripsit, cum suprascripto |
| susp. | suspicatus est (falsum esse) |
| u.v. | ut videtur |

## EDITORES PRAECIPVI

J. Barnes 1711
J. B. de Villoison 1788
C. G. Heyne 1802



F. A. Wolf 1804
R. Payne Knight 1820
F. H. Bothe 1832
T. S. Brandreth 1841
I. Bekker $^2$1858
J. La Roche 1872
A. Nauck 1877
W. Christ 1884
A. Fick 1886
A. Rzach 1886–7
J. van Leeuwen–M. B. Mendes da Costa 1887–90, $^3$1906–8
P. Cauer 1890–1
W. Leaf $^2$1900–2
A. Ludwich 1902–7
D. B. Monro–T. W. Allen 1902, $^3$1920
J. van Leeuwen 1912
T. W. Allen 1931
H. van Thiel 1996

## OPERA COMPENDIOSIVS LAVDATA


Allen Prol. = T. W. Allen, Homeri Ilias (Oxonii 1931), Tomus I: Prolegomena
Bechtel Lexil. = F. Bechtel, Lexilogus zu Homer (Halae 1914)
Bekker Hom. Bl. = I. Bekker, Homerische Blätter I–II (Bonnae 1863–72)
Bentley = R. Bentleii notae ad Il. A–Z in cod. Trin. Coll. Cantab. B.17.17, a W. Leaf transcriptae forasque editae in J. Phil. 13 (1885) 122–63
Bergk Gr. Lit. = T. Bergk, Griechische Literaturgeschichte I–IV (Berolini 1872–87)
Bolling Ext. Evid. = G. M. Bolling, The External Evidence for Interpolation in Homer (Oxonii 1925)
Brugman Ein Problem = K. Brugman, Ein Problem der homerischen Textkritik und der vergleichenden Sprachwissenschaft (Lipsiae 1876)
Buttmann Ausf. Sprachl. = Ph. Buttmann, Ausführliche griechische Sprachlehre (Berolini $^2$1830–9)
Buttmann Lexil. = Ph. Buttmann, Lexilogus (Berolini 1818)
Chantr. = P. Chantraine, Grammaire homérique I–II (Parisiis 1948–53)
Chantr. DEG = P. Chantraine, Dictionnaire étymologique de la langue grecque (Parisiis 1968–80)
Crespo = E. Crespo, Elementos antiguos y modernos en la prosodia homérica (Minos Suppl. 7, Salmanticae 1977)
Denniston = J. D. Denniston, The Greek Particles (Oxonii $^2$1954)
Düntzer = H. Düntzer, De Zenodoti studiis Homericis (Gottingae 1848)
Erbse = H. Erbse, Scholia Graeca in Homeri Iliadem I–VII (Berolini 1969–88)
Erbse Beitr. = H. Erbse, Beiträge zur Überlieferung der Iliasscholien (Monaci 1960)
Fick = A. Fick, Die homerische Ilias nach ihrer entstehung betrachtet und in der ursprünglichen sprachform wiederhergestellt (Gottingae 1886)
Fick Od. = A. Fick, Die homerische Odyssee in der ursprünglichen sprachform wiederhergestellt (Gottingae 1883)

Herwerden Quaestiunc. = H. van Herwerden, Quaestiunculae epicae et elegiacae (Traiecti ad Rhenum 1876)
KB = R. Kühner, Ausführliche Grammatik der griechischen Sprache, I. Elementar- und Formenlehre, 3. Aufl. von F. Blass (Hannoveri 1890–2)
Lachmann = K. Lachmann, Betrachtungen über Homers Ilias (Berolini 1847)
La Roche Unt. = J. La Roche, Homerische Untersuchungen I–II (Lipsiae 1869–93)
Leaf = W. Leaf, The Iliad (Londinii² 1900–2)
Lehrs Qu. ep. = K. Lehrs, Quaestiones epicae (Regiomonti 1837)
Leumann = M. Leumann, Homerische Wörter (Basileae 1950)
Lorimer = W. L. Lorimer, Homer and the Monuments (Londinii 1950)
Meister = K. Meister, Die homerische Kunstsprache (Lipsiae 1921)
L. Meyer Vergl. Gramm. = Leo Meyer, Vergleichende Grammatik der griechischen und lateinischen Sprache (Berolini 1861–5)
Monro HG² = D. B. Monro, A Grammar of the Homeric Dialect (Oxonii ²1891)
Naber Qu. Hom. = S. A. Naber, Quaestiones Homericae (Amstelodami 1877)
Nauck Mél. = A. Nauck, Mélanges gréco-romains I–IV (Petropoli 1855–80)
Nickau Unt. = K. Nickau, Untersuchungen zur textkritischen Methode des Zenodotos von Ephesos (Berolini–Novi Eboraci 1977)
Rengakos = A. Rengakos, Der Homertext und die hellenistischen Dichter (Hermes Einzelschriften 64, Stutgardiae 1993)
Risch Wortbildung = E. Risch, Wortbildung der homerischen Sprache (Berolini–Novi Eboraci ²1974)
Robert = C. Robert, Studien zur Ilias (Berolini 1901)
Schadewaldt = W. Schadewaldt, Iliasstudien (Abh. d. Sächs. Akad. 43(6), Lipsiae 1938)
Schulze = W. Schulze, Quaestiones epicae (Guterslohae 1892)
Schwyzer = E. Schwyzer, Griechische Grammatik I (Monaci 1939)
Schwyzer–Debr. = E. Schwyzer, Griechische Grammatik II, vervollständigt u. hrsg. von A. Debrunner (Monaci 1950)
Sihler = A. L. Sihler, New Comparative Grammar of Greek and Latin (Novi Eboraci–Oxonii 1995)
Threatte = L. Threatte, The Grammar of Attic Inscriptions I–II (Berolini–Novi Eboraci 1980–96)
van der Valk = M. van der Valk, Researches on the Text and Scholia of the Iliad (Lugduni Batavorum 1963)
van Leeuwen Ench. = J. van Leeuwen, Enchiridium dictionis epicae (Lugduni Batavorum ²1918)
Wack. KS = J. Wackernagel, Kleine Schriften I–III (Gottingae 1953–79)
— Unt. = J. Wackernagel, Sprachliche Untersuchungen zu Homer (Gottingae 1916)
— Synt. = J. Wackernagel, Vorlesungen über Syntax I–II (Basileae 1920–4)
Wathelet = P. Wathelet, Les traits éoliens dans la langue de l'épopée grecque (Romae 1970)
S. West Ptol. Pap. = S. West, The Ptolemaic Papyri of Homer (Coloniae 1967)
Wilamowitz Il. u. H. = U. von Wilamowitz-Moellendorff, Die Ilias und Homer (Berolini 1916)
Wilamowitz Hom. Unt. = U. von Wilamowitz-Moellendorff, Homerische Untersuchungen (Berolini 1884)

# ΙΛΙΑΔΟΣ

## Α–Μ

οὔτέ ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
αὖθι μένων· ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.
ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώς,
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες
πάντες ἅμα, Ζεὺς δ' ἦρχε· Θέτις δ' οὐ λήθετ' ἐφετμέων
παιδὸς ἑοῦ, ἀλλ' ἥ γ' ἀνεδύσετο κῦμα θαλάσσης,
ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε.
ηὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων
ἀκροτάτηι κορυφῆι πολυδειράδος Οὐλύμποιο·
καί ῥα πάροιθ' αὐτοῖο καθέζετο, καὶ λάβε γούνων
σκαιῆι, δεξιτερῆι δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα
λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα·
"Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα
ἢ ἔπει ἢ ἔργωι, τόδε μοι κρήηνον ἐέλδωρ·
τίμησόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων
ἔπλετ', ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
ἀλλὰ σύ πέρ μιν τῖσον, Ὀλύμπιε μητίετα Ζεῦ·
τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ' ἂν Ἀχαιοί
υἱὸν ἐμὸν τίσωσιν ὀφέλλωσίν τέ ἑ τιμῆι."
ὣς φάτο· τὴν δ' οὔ τι προσέφη νεφεληγερέτα Ζεύς,
ἀλλ' ἀκέων δὴν ἧστο. Θέτις δ' ὡς ἥψατο γούνων,

**491a + 492** (αὖθι μ.) Arn ad A 488; H. α 8267; **491b–2** Plut. Pyrrh. 13.2, Agis et Cleom. 55.3; **492** (αὖθι μ.) EtG α 1391; (ποθ.–) sch Σ 125b[1]; (ἀϋτήν) H. (Cyr.) α 8386 **496** (ἀνεδ.) H. α 5338 **497–9a** h27; **497** [Plut.] Hom. 2.95.2; [Plut.] ap. Stob. 1.22.2; (ἠερίη) ApS 82.26; H. (Cyr.) η 187; Orio 67.η3; **498–9** Anon. in Stob. 1.1.28; **498** [Plut.] Hom. 2.144.3; (ἄτερ–) Procl. ad Hes. Op. 258–60; (ἄτερ ἥμ.) H. (Cyr.) α 8059; **499** [Plut.] Hom. 2.103.2; Procl. ad Hes. Op. 8a; **499a** sch X 172b **500** Eudoc. 1306 **501** (σκ.) ApS 142.5; (ὑπ' ἀνθ.) H. υ 232 **502** (λισσ.) id. λ 1126 **503–4a** [D.H.] Ars 9.15; **504a** Hdn ad O 105–6a; Choric. 120.12 **505–6** (ἔπλ.) sch Σ 458a; **505b** cf. Choric. 120.13; **506** (ἀτάρ–γε) H. (Cyr.) α 8015 **508** (τεῖσον) H. τ 960; (μ. Ζ.) sch[h] B 107 **509** (τόφρα δέ) H. τ 1222 **510a** sch A 505b; (τίσ.) Phot. Lex. s.v. **511** (al.) (νεφ. Ζ.) sch Pind. Nem. 3.92b; 'Hdn' Fig. iii.86.26; (ν.) H. ν 401 **512a** EtG α 314; (ἧστο) H. η 914

**491** om. Zen 456c: hab. 53 379 792 793 tt Z Ω ἐς 379 792 T D: εἰς 53 Ω* **492** πτόλεμόν tt* A F[c]: πόλ- [Plut.] Ω* **493** om. 793, obelum praef. A **495** ἐφετμέων 116 h25 Z Ω, -μῶν h139[ε1001]: ]φνεων 456c **496** ἀνεδύσετο sch[bT] (Epm.) A[s] rr: -σατο Z Ω **498** ηὗρεν Fick: εὗρ- 116 379 Z Ω **503** ὄνησα Ar 116 Z Ω: ἔτισα [Dion.][vl] **504** τόδε Ω: τὸ δέ H (cf. ad 41) **505** μοι 99 116 379 535 t Ω (μου F), quod non corripi mirum est: δή μ' Platt: possis etiam μοῖ υἱόν, ὅς ‹τ'› **510** τίσωσιν 99 116 535 t Z Ω: τεισω[ 379: τιμωσιν 796 τιμῆι 1 116 Ω*: τιμήν B[c] D quidam ap. Eust. **511** ως φατο δακρυ[χ]εω[ (ex 357) 99[a]



ὣς ἔχετ' ἐμπεφυυῖα, καὶ εἴρετο δεύτερον αὖτις·
"νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον,
ἢ' ἀπόειπ', ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ' εὖ εἴδω
ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι."
τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
"ἦ δὴ λοίγια ἔργ', ὅ τέ μ' ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρηι, ὅτ' ἄν μ' ἐρέθηισιν ὀνειδείοις ἐπέεσσιν.
ἣ δὲ καὶ αὔτως μ' αἰεὶ ἐν ἀθανάτοισι θεοῖσιν
νεικεῖ, καί τέ μέ φησι μάχηι Τρώεσσιν ἀρήγειν.
ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε, μή τι νοήσηι
Ἥρη· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω.
εἰ δ' ἄγε τοι κεφαλῆι κατανεύσομαι, ὄφρα πεποίθηις·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλόν
οὐδ' ἀτελεύτητον, ὅ τί κεν κεφαλῆι κατανεύσω."

**513–16** Porph. Hom. 92.14 Sod.; **513a** Epm. π 143; (ἐμπεφ.) H. ε 2429; **513b** sch Soph. O.C. 630; ApS 64.16; (εἴρ.) Apio 233.19; H. (Cyr.) ε 1020; **514–15** Eudoc. 2113–14; **514** (νημ.) H. ν 484; Phot. Lex. s.v.; (ὑπ.) H. υ 764; **515** (ἀπό.) H. (Cyr.) α 6330; (ἐπεὶ–δέος) Hdn ad A 174, E 178a; Epm. α 264, ε 87, 97, 184; (ἐπεὶ οὔ τοι) H. ε 4343; (ὄφρ'–) H. ο 1983; Choer. in Thd. ii.282.12, 23; **516** (μετὰ π.) H. μ 1036; (ἀτιμ.) id. α 8091 **517a** (al.) sch Orib. 45.27.10 (CMG vi.2.1.183 app.); (ὀχθ.) H. ο 2030; Orio 121.4 **518a** ApS 81.28; Hdn ad B 272a; sch A 219a, 528a; (–λ.) sch A.R. 1.631; (λ.) H. (Cyr.) λ 1230; **518b–9** (Ἥρηι) EtG[B] s.v. ἐχθοδοπῆσαι; (ἐχθ.) Hdn ii.285.6; H. ε 7636; (ἐφήσεις) H. ε 7456; **519b** (al.) Epm. ad A 66c **520–1** (νεικεῖ) Epm. ν 37; **521** Choer. in Thd. ii.160.17; (νεικ.) H. (Cyr.) ν 223; Phot. Lex. s.v.; (ἀρήγ.) ApS 42.4 **522–3** (Ἥρη) sch Σ 356b; EtG α 1039; (ἀπόστ.) ApS 39.21; H. α 6659; **523** (ἐμοὶ–) Eudoc. 891 **524–7** [D.H.] Ars 8.15; **524** w40; EtG[(A)B] s.v. κραίνω; (–ἐπινεύσ.) Ath. 66c; (ὄφρα πεπ.) ApD Coni. 244.16, Synt. 384.10, 485.3; Epm. ο 100; (πεπ.) H. π 1484; **525–7** Anon. in Stob. 3.11.32; **525** (ἐξ ἐμέθεν) H. (Cyr.) ε 3702, cf. 2329; Prisc. Inst. 5.75; **526–7** Eudoc. 470–1; **526** (οὐ–)–7 sch Eur. Alc. 978; [Iustin.] Cohort. ad Gr. 25; Them. Or. 9.127d; Stob. 3.11.2; (–**527**a) sch Pind. Ol. 10.6a; (οὐ παλ. + **527**b) Atticus ap. Eus. P.E. 15.4.9; **526** w40; (οὐ–) Epict. 2.8.26; (οὐ–παλ.) ApS 127.3; sch Theoc. 7.44; (παλ.) H. π 193; Phot. Lex. s.v.; (ἀπατ.) ApS 37.26; H. α 5840; EtG α 972; **527** sch T 108a, θ 567; Them. Or. 9.127d; (ἀτελ.) H. α 8042; **527b** Arist. fr. 163 (sch T 108); sch B 112b; sch Call. H. 3.40; cf. [Plut.] Mor. 208d

**513** εἴρετο Hdn 1 116 535 796 h23 tt Z Ω*, ιρετο 797: εἶρε τὸ Ixio: ἤρετο C F[c] D[c] R **515** ἤ' Fick: ἢ Z Ω τοι 1 379[c] 535 tt Z Ω*: τι 379[a] Epm.[ε 97.184] C D εὖ Z Ω: ἔϋ Ludwich (ἐῢ Bekker) εἴδω Tyr (ad α 174), ειδω 1 116 796: εἰδῶ Ar (ad α 174) Hdn tt Z Ω: εἰδέω Monro.–cf. Wack. Unt. 73; Chantr. I 420–1 **518** ἦ δὴ ApS Hdn Z Ω: ἤδη quidam ap. ApH (Eust. 153.20) ὅ τέ Bekker (Hom. Bl. I 151): ὅτε Ω **519** Ἥρηι, (nov. Did) 1 EtG Ω: Ἥρη Ar (sine ι scr. etiam 116 379 456c Z B F D) **522** αὖτις 116 796 t Ω: αὖθις 1(?) 535 C τι Ar 'fere omnes' Didymi 116 (τ̣ι̣): σε (nov. Did) 1 796 t Z Ω **524** κατανεύ- (cf. 514, 558, B 350, al.) Ar 1 [Dion.] EtG Z Ω: ἐπινεύ- (Philitas? nov. Did; cf. A 528, O 75, Hymn. Ven. 222) 116 362 796 799 w40 tt*

πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔσεαι, τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
εἰ δ' οὕτω τοῦτ' ἔστιν, ἐμοὶ μέλλει φίλον εἶναι.
ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ,
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
ἆσσον ἰόνθ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω."
ὣς ἔφατ', ἔδδεισεν δὲ βοῶπις πότνια Ἥρη,
καί ῥ' ἀκέουσα καθῆστο ἐπιγνάμψασα φίλον κῆρ·
ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ οὐρανίωνες.
τοῖσιν δ' Ἥφαιστος κλυτοτέχνης ἦρχ' ἀγορεύειν,
μητρὶ φίλῃ ἐπὶ ἦρα φέρων, λευκωλένῳ Ἥρῃ·
"ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐδ' ἔτ' ἀνεκτά,
εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτός
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.

**562–3** Eudoc. 2145–6; **562** (πρ. ἔμπ.) H. π 3271; (ἀπὸ θ.)–**563** (-ἐμοί) Epm. α 278; (ἀπὸ θ.) H. α 6353 **564** Eudoc. 1589; (μ.) H. (Cyr.) μ 743 **565a** ApS 20.30; ApD Adv. 143.5; Hdn i.469.6; (ἀκ.) H. α 2327; (κάθ.) id. κ 150 **566 + 567b** Anon. Fig. iii.150.12 Sp.; **566** (χρ.) H. χ 668; **567a** sch Z 396b; **567** (ὅτε–) Philox. fr. 413 Th.; (ἀάπτ.) ApS 1.20; H. α 20; Phot. Lex. α 8; (ἐφείω) H. (Cyr.) ε 7373 **569** Eudoc. 242; **569a** ApD Adv. 144.6; (καθ.) Phot. Lex. s.v.; **569b** EtG[AB] s.v. γαμψός; (ἐπιγν.) ApS 72.24; H. ε 4676 **570** Porph. Il. 30.1 Schr. (ad B 212); **570a** Apio 220.1; (ὄχθ.) H. ο 2029, ω 507 **572** (-φέρων) ApS 73.11; sch Υ 36a[1] **573** Hdn ad Θ 355; Eudoc. 132; (-ἔσσ.) Hdn i.520.5; sch[h] A 260; Epm. η 11 et ad A 260; **573a** ApS 82.19; EtG[AB] s.v. ἤδη; (ἦ δή) H. η 115; (ἀνεκτά) EtG α 851 **574** sch Θ 428c; (ἐριδ.–) sch Ψ 792a **575** (-ἐλ.) Hdn cod. Vind. Hist. gr. 10 f. 3r (Jb. Öst. Byz. Ges. 16.18); (κολ. ἐλ.) Epm. ε 56; (κολ.) Philox. fr. 122 Th.; ApS 102.1; H. (Cyr.) κ 3414; (ἐλ.) H. ε 1904; (οὐδέ–)–**576a** ApS 82.20; Epm. μ 23; (ἦδος) H. η 134; Phot. Lex. s.v.; **576b** sch Soph. Phil. 457; sch Eur. Pho. 889; (ἐπεὶ τὰ χ.) H. ε 5300; (τὰ χ. v.) Trypho fr. 3 V.; sch Thuc. 1.33.2; Porphyr. in Hor. Epod. 16.37; Procl. in Crat. p.13.6 Pasq.

**563** μᾶλλον Blass: μᾶ- Ω ἐμοὶ 269 804 Z Ω: εμοιγ' 380 **565** ἀκέουσα 269 379 380 804 h23 tt Z Ω: ἀέκουσα 384 (α[ε]κ[) et teste ApD "ἐν ἐνίαις ἐκδόσεσιν" (= Rhi? cf. β 311; Erbse Beitr. 341) O[a].–cf. ad 569 **567** ἆσσον Z A D G[a]: ἄσσον Ω* ἰόνθ' 380 t Ω: ιοντι 269, item intell. Ar (ad dativum cf. Nic. Th. 551): ἰόντε Zen Z ἀάπτους Zen Ar 804 h23 tt Z Ω, ἀάπτους Apio (Phot. Lex. α 8): ἀέπτους Arph (cf. ad N 318) **568** ὣς 116 269 379[a] 380 804 Ω: τως 379[c]? ἔδδεισεν 269 380 Ω: ἔδεισσε O[a] **569** ἀκέουσα 269 379 380 537 t Ω: ἀέκουσα 384 G[a] καθῆ'σ'το 380 **570** ὄχθησαν 116 269 380 Z Ω*: ὤχθ- tt* F D G[c], -ισαν C: et ὄχθ- et ὤχθ- Hsch.–cf. ad O 101 **571** al. (κλυτοτ.) H. (Cyr.) κ 3058; (ἀγορ.) ApS 4.12 **572** ἐπὶ ἦρα Hsch., prob. Hdn (cf. Ξ 132, π 375), ἐπιῆρα Z: ἐπίηρα Ar ApS 380 Ω (ἐπίηιρα A) λευκωλένῳ Ἥρῃ Z Ω: τετιημένῃ ἦτορ flagit. sch[bT] **573** ἦ δὴ Hdn 380 Z Ω: ἤδη tt*, quidam ap. ApH (Eust. 153.16) οὐδ' ἔτ' 380[c] G: οὐδέ τ' Z Ω*: οὐκέτ' 380[a] Hdn (utroque loco) Z **574** σφὼ Hdn t Ω*: σφω Z: σφῶ 384 D[a] G[a], σφῶ' R: σφωιν h23 **575** κολῳὸν sch 380[c] A[c] *b* T G: κολῳὸν Philox. 380[a] Z Ω*, κολοον h23 οὐδ' ἔτι r **576** ἦδος Hdn Ω: ἧδος Trypho V



μητρὶ δ' ἐγὼ παράφημι, καὶ αὐτῇ περ νοεούσῃ,
πατρὶ φίλῳ ἐπὶ ἦρα φέρειν Διί, ὄφρα μὴ αὖτε
νεικείῃσι πατήρ, σὺν δ' ἥμιν δαῖτα ταράξῃ.
εἴ περ γάρ κ' ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητής
ἐξ ἑδέων στυφελίξαι· ὃ γὰρ πολὺ φέρτερός ἐστιν.
ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσιν·
αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἥμιν."
ὣς ἄρ' ἔφη, καὶ ἀναΐξας δέπας ἀμφικύπελλον
μητρὶ φίλῃ ἐν χερσὶ τίθει, καί μιν προσέειπεν·
"τέτλαθι, μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ,
μή σε φίλην περ ἐοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι
θεινομένην· τότε δ' οὔ τι δυνήσομαι, ἀχνύμενός περ,
χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι.
ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα
ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο·
πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν.
ἔνθά με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα."
ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη,
μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον.

**577** (παράφ.) ApS 127.28; H. π 727 **578** (–Διί) H. η 713 **579b** H. σ 2449; Epm. η 19 **580** (ἀστ.) ApS 45.29; H. α 7845; EtG α 1323 **581** (στυφ.) ApS 145.24; H. σ 2100; Phot. Lex. s.v. **582** Nic ad M 267a; (καθ.) sch Π 9a; H. κ 82 **584a** Did ad Υ 114b[2]; (δέπας) ApS 57.4; (ἀμφικ.) id. 25.18, 105.24; H. α 4045; EtG α 735 **586** Eudoc. 600; Epm. ad A 56a[1]; (τέτλ.) H. τ 603; (ἀνάσχ.) EtG α 798 **587** (ἐν ὀφθ.) H. (Cyr.) ε 3268 **588** (θειν.) id. θ 192 **589** (ἀργ.) EtG α 1114 **590–1** Celsus ap. Orig. c.Cels. 6.42; **590–1a + 592–3** sch Ξ 257a; **591** Comm. in Stat. Th. 3.262; EtG β 105; Choer. in Thd. ii.70.6; id. in Ps. 116.16; Crates Supp. Hell. 357 (parod.); cf. Luc. Dial. 26.1, 82.4; **591a** Epm. ζ 6; (τετ.) sch Γ 355; ApS 151.16; H. τ 572; **591b** ApS 51.15; Clem. Protr. 2.29.5; (ἀπὸ β.) H. α 6257; (β. θ.) Syr. in Metaph. CAG vi(1).168.10; (β.) H. β 567; **592–3** Hclt. Alleg. 26.2, cf. 27.3; **592–3a** Prisc. Inst. 17.162; **592a** Olymp. in Gorg. p.247.8 W.; (πᾶν δ' ἦμαρ) H. π 325; **592b** Procl. in Remp. ii.347.25; Epm. α 153; **593** Sext. Math. 1.291; **593a** sch Nic. Th. 458; **593b** Hclt. Alleg. 26.16; cf. Philod. Piet. 247 v[A] (p.78 Sch.) **594a** Strab. 7 fr. 45; ApS 141.26; (Σίντιες) H. σ 699 **595** (μείδ.) H. (Cyr.) μ 582 **596** Did ad A 585a

**578** ἐπὶ ἦρα Hsch: ἐπίηρα Ω (cf. ad 572) **579** ἥμιν Ar Hdn 380 (ἡμ[[ε]]ιν) Epm. A B E[a]? T, ἦμιν F: ἡμῖν Ptol Hsch. Ω* **581** ἑδέων 116 378 380 805 h23 Z Ω: ἑδρέων rr (cf. ad 534) φέρτερός 380 M (cf. Θ 144, 211): φέρτατός Z Ω*: φίλτερος 384 **583** ἥμιν A, ἥμειν 380: ἡμῖν Ω* **585** χερσὶ (nov. Did) 116 380 Ω (cf. γ 51; A 441, Ψ 565[vl], 624): χειρὶ Sosig Arph Ar 𝔐 (cf. 596) **589** ἀντιφέρεσθαι 380 384 Z Ω: αντιφε[ρ]ιζε[ι]ν h23 **591** τεταγὼν h23 tt* Z Ω: -γὼς Luc.[vl] ἀπὸ βηλοῦ 380 384 h23 tt* Z Ω: βηλοῦ ἀπὸ Clem.: ἀπὸ βήλου (sc. Beli Babyloniaci = summi caeli) Crates **593** ἐν Λήμνῳ Ar 380 797 tt Ω: ἐς Λῆμνον aliquis ante Ar (Zen?) **596** χειρὶ Did (ad 585) 380 797 Ω: fort. χερσὶ

αὐτὰρ ὃ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
οἰνοχόει γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων·
ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ᾽ Ἀπόλλων,
Μουσάων θ᾽, αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῆι.
αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
οἳ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
ἧχι ἑκάστωι δῶμα περικλυτὸς Ἀμφιγυήεις
Ἥφαιστος ποίησεν ἰδυίηισι πραπίδεσσιν·
Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ᾽ Ὀλύμπιος ἀστεροπητής,
ἔνθα πάρος κοιμᾶθ᾽, ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθα καθηῦδ᾽ ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη.

597 (ἐνδ.–) sch B 353b 598 cf. Nonn. D. 21.176, 27.244–5; (ὠινοχ.) H. ω 250; (γλ.) id. γ 673; (νέκταρ) ApS 115.20; 598b cf. Procl. in Tim. iii.250.24; (ἀφ.) ApS 48.25; H. α 8801 599–600 Pl. Resp. 389a; Procl. in Remp. i.126.14; 599 'Trypho i' Trop. iii.192.19 Sp.; Tat. ad Gr. 8.1; [Plut.] Hom. 2.214.1; cf. Choric. 365.9; (–γέλως) Arn et Hdn ad Π 123a–c; 'Trypho ii' Trop. 2.3 (CQ 15.237); EtG$^{B}$ s.v. ἄσβεστος; 599a cf. Procl. in Tim. ii.98.12; (ἄσβ.) ApS 45.22; H. α 7632; Phot. Lex. α 2944; EtG α 1262; (ἐνῶρτο) H. (Cyr.) ε 3476; 600 Arn ad Ξ 155; (εἶδον διὰ–) Choer. in Ps. 113.33; 600a Lex. αἱμ. ε 16; (διὰ δ.) H. δ 1005; (ποιπν.) id. π 2741; Orio 126.22 601 sch$^{D}$ K 252; Eudoc. 693, cf. 1297, 2321; (πρόπαν–)–2 (δαίν.) sch A 592 603 (φόρμ.–)–4 Ath. 627f; 603 (περικαλλ.) H. π 1724; 604 Syr. in Metaph. CAG vi(1).25.12; (ἄειδον) H. (Cyr.) α 1258; 604b Choer. in Ps. 57.25; (ἀμειβ.) Them. Or. 21.255d 606 (–οἶκ.) EtG α 1259; 606a sch Ξ 37d; (κακκ.) H. (Cyr.) κ 318 607–8a Procl. in Remp. i.126.23; 607 Choer. in Thd. ii.48.9; Epm. ad A 2b$^{1}$; (ἧχι) ApS 85.16; H. η 1017; (περικλ.) ApS 130.28; (ἀμφιγ.) sch Σ 410b; ApS 26.14; Clem. Protr. 7.76.1; Porph. Hom. 61.8 Sod.; Procl. in Tim. ii.98.10; H. (Cyr.) α 3969; EtG α 719; 608 EtG$^{B}$ s.v. Ἥφαιστος; 608b ApS 90.5; (ἰδ.) H. ι 244, cf. ε 777; (πραπ.) id. π 3209 609 (–Ὀλ.) H. ο 851; 609a ApD Pron. 106.28; (–λέχος) ib. 110.13 611a Porph. ad B 2a; Epm. ad A 22a

598 οἰνοχόει Antim Zen Arph Ar 𝔄 𝔐: ὠ(ι)νο- 380 797 Z Ω.–v. Praef. III 8 599 ἐνῶρτο 797 tt* Z Ω: ἀνῶρτο 'Trypho i' EtG rr γέλως 380 797 tt Ω: γέλος Bentley, cf. Chantr. I 211 600 ποιπνύοντα 380 (ex πυπν-) 384 tt Z Ω: ποιπνύσαντα 'omnes' (Didymi u.v.), cf. Θ 219 602 οὐδέ τι Ω*: οὐδ᾽ ἔτι h30 A$^{c}$ D G 606 κακκείοντες 1 116 h23 t Z Ω (cf. Ψ 58): δὴ κείοντες 'omnes' Didymi (cf. Ξ 340, τ 48) 607 ἧχι Ar DSid 380$^{a}$ Z Ω*: ἧιχι ApD (Adv. 209.19) 1 380$^{c}$ A T G.–cf. ad Γ 326, E 774 608 ποίησεν ἰδυίηισι(ν) Ar 1 116 538 h23 ApS Hsch. Z A T$^{s}$: ποίησ᾽ εἰδ- h139$^{\varepsilon 104}$ EtG Ω* 609–11 tamquam rhapsodi absolutionem susp. Leaf, 611 iam Payne Knight 609 δὲ πρὸς 1 136 380 tt Z Ω: δ᾽ ἐς Brandreth (cf. Hymn. Ven. 157) ὃν Ar 1 136 380 tt Z Ω: ὃ Zen, sc. ολλεχος pro ὃν λ- (van Leeuwen) ἤϊ᾽ 1 136 538 h23 Ω: ειη ApD$^{codd.}$ Hsch.$^{cod.}$, sc. ἤιει? (Bekker, cf. Chantr. I 285–6; ἤει rr) 611 καθηῦδ᾽ van Leeuwen: καθεῦδ᾽ Hdn tt Z Ω, κάθευδ᾽ E$^{a}$? D, καθευδ᾽ 1 380: ἐκάθευδ᾽ Zen



B ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί
ηὖδον παννύχιοι, Δία δ᾽ οὐκ ἔχε νήδυμος ὕπνος,
ἀλλ᾽ ὅ γε μερμήριζε κατὰ φρένα, ὡς Ἀχιλῆα
τιμήσηι, ὀλέσηι δὲ πολὺς ἐπὶ νηυσὶν Ἀχαιῶν.
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
πέμψαι ἐπ᾽ Ἀτρείδηι Ἀγαμέμνονι οὖλον Ὄνειρον.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"βάσκ᾽ ἴθι, οὖλε Ὄνειρε, θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
πάντα μάλ᾽ ἀτρεκέως ἀγορευέμεν, ὡς ἐπιτέλλω.
θωρῆξαί ἑ κέλευε κάρη κομόωντας Ἀχαιούς
πασσυδίηι· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες
ἀθάνατοι φράζονται (ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη), δίδομεν δέ οἱ εὖχος ἀρέσθαι."

B 1–2 Heph. p.14.18; Anon. Fig. iii.120.22 Sp.; w8; (parod.) Luc. Dial. 24.28, [86].42, cf. 29.2; (–ἔχε) sch Ξ 233; 1–2a (pro K 1–2) Arist. Poet. 1461a16; 1 (–ἀνέρες) + 2a Them. Or. 7.91a; 1 w3; 1 (–ἀνέρες) sch A.R. 1.1081; H. ρ 1; 1a ApD Coni. 252.14, Synt. 53.2, 15; Hdn i.561.12; (–ῥα) H. α 3157; (ὦλλοι Zen) ApD Synt. 6.3; (μέν ῥα) H. μ 864; (ἱπποκ.) ApS 92.14; H. (Cyr.) ι 837/8; 2 Choer. in Thd. i.191.23; (–νήδ.) sch Heph. 273.17; (εὗδον) H. (Cyr.) ε 6766; 2b Apio 239.14; Hdn i.480.14; Anon. De prosodiis p.106.5 Uhlig; (νήδ.) ApS 116.11 3 cf. Luc. Dial. 29.2; (μερμ.) ApS 111.19; (ὡς–)–4 Porph. Il. 115.31 Schr.; 4 (–πολέας) sch X 468b; Porph. Il. 260.11 Schr. 5–6 sch ζ 231; 5 Eudoc. 340; (ἀρίστη) EtG α 1177 7 (al.) ead. 1249 8 Choer. in Thd. i.169.20; 8a Apio 97.5/h32; Gell. 13.25.21 (sch rec. Ar. Ran. 1159); Epm. o 84; (–ἴθι) H. (Cyr.) β 298; (βάσκε) ApS 50.25 9–10 (–ἀγ.) Lesb. Fig. 15a/17b; 10 Eudoc. 1375; Epm. μ 10; (–ἀγ.) Procl. in Remp. i.117.9; (ἀτρ.) ApS 46.28; EtG α 1374 11–12 (in cod. A: 8–12) [Alex.] in Soph. el. CAG ii(3).34.9; 11 (θωρ.) ApS 89.19; 11b (al.) Lib. Or. 64.50 (iv.452.6 F.); Matro Supp. Hell. 534.18 (parod.); (καρηκ.) Porph. Hom. 15.4 Sod.; H. κ 809 12 (πασσ.) sch B 38a; ApS 128.31; H. π 387 et 1078; Orio 138.28; Procl. in Remp. i.115.20 13 (οὐ γὰρ–) Apio 218.17 14b–15a Melet. Nat. hom., AO iii.76.8 (Soranus fr. 268 Sch.); 14b Epm. γ 26 (Hdn ii.487.11) 15b Hippias ὁ Θάσιος (ὁ Ἠλεῖος Osann; DK 86 B 20) ap. Arist. Soph. el. 166b7, Poet.

B 1 ἄλλοι Ar w3 w8 tt Z Ω: ὦλλοι Zen (cf. ad K 1), item A.R. 1.1081 (cf. Rengakos 54) 2 ηὖδον Fick: εὗδον w8 h139$^{\varepsilon 939}$ tt Z Ω.–v. Praef. III 8 οὐκ 809 810 tt Z Ω: ]δ 458a ἔχε νήδυμος Ar 810 tt* Z Ω (cf. Ξ 253, Ψ 63): ἔχεν ἥδυμος quidam ante Ar Anon.$^{vl}$ rr (cf. Hymn. Merc. 241, 449, Alcm. 135, Simon. 599).–v. Leaf ad loc.; Leumann 44 sq. 3 φρένα 2 457b 810 Z Ω: φρένας 2$^{s}$ V 4 τιμήσηι tt Ω: -σει᾽ sch: -σει (?) Nic A$^{s}$ T$^{s}$ ὀλέσηι sch tt Z Ω: -σει T$^{s}$: -σαι Voss πολὺς Zen: πολέας Ar 457b tt Z Ω.–cf. ad A 559 5 ἧδε Z A B$^{a}$ E T 6 Ἀτρείδηι Ἀγαμέμνονι 2 Z Ω: -δην -ονα t C (cf. 18), ]ạγạμεμνα 457b 8 βάσκιθι(!) Tyr 9 ἐς sch t Z Ω* (ad asyndeton cf. Λ 186, O 158, Ω 144): δ᾽ ἐς C 12 πασσυδίη(ι) (nov. Did) 94 457b tt* *h* W: πανσυδ- Ar Callistr(?) αἱ χαριέστεραι sch-Hom. [Alex.] Z Ω: utrumque Hsch. ἕλοι Zen 457b tt* Z Ω*: ἕλοις (oratione obliqua in rectam deflexa ut Δ 303, Ψ 855, α 40) Ar [Alex.]$^{vl}$ A Y 15 δίδομεν δέ οἱ εὖχος